NOTÆ
ET EMENDATIONES,
IN
HIPPOCRATIS
APHORISMOS
ET
PRÆNOTIONUM LIBRUM,

EDUARDI-FRANCISCI-MARIÆ BOSQUILLON, Equitis, &c. Quibus præfixa est Versio antiqua Aphorismorum, a vulgatis multum discrepans, cum Commentariis ex Oribasio excerptis, et additus Index compendii instar in Aphorismos et Prænotiones.



PARISIIS,
EXCUDEBAT J. FR. VALADE.

M. DCC. LXXXIV.

ΙΠΠΟΚΡΑΤΟΥΣ

ΑΦΟΡΙΣΜΟΙ.



APHORISMI
HIPPOCRATIS.

ΙΠΠΟΚΡΑΤΟΥΣ

ΑΦΟΡΙΣΜΟΙ.

ΤΜΗΜΑ ΠΡΩΤΟΝ.

Α.

Ο Βίος βραχὺς, ἡ δὲ τέχνη μακρὴ, ὁ δὲ καιρὸς ὀξὺς, ἡ δὲ πεῖρα σφαλερὴ, ἡ δὲ κρίσις χαλεπή. δεῖ δὲ οὐ μοῦνον ἑωϋτὸν παρέχειν τὰ δέοντα ποιεῦντα, ἀλλὰ καὶ τὸν νοσέοντα, καὶ τοὺς παρεόντας, καὶ τὰ ἔξωθεν.

β. Εν τῇσι ταραχῇσι τῆς κοιλίης, καὶ τοῖσιν ἐμέτοισι τοῖσιν αὐτομάτως γινομένοισιν, ἢν μὲν οἷα δεῖ καθαίρεσθαι καθαίρωνται, ξυμφέρει τε καὶ εὐφόρως φέρουσι· ἢν δὲ μὴ, τοὐναντίον. οὕτω δὲ καὶ ἡ κενεαγγείη, ἢν μὲν οἷα δεῖ γίνεσθαι, γίνηται, ξυμφέρει τε καὶ εὐφόρως φέρουσι· ἢν δὲ μὴ, τοὐναντίον. ἐπιβλέπειν οὖν δεῖ καὶ χώρην, καὶ ὥρην, καὶ ἡλικίην, καὶ νούσους ἐν ᾗσι δεῖ, ἢ οὔ.

HIPPOCRATIS
APHORISMI.

SECTIO PRIMA.

I.

VITA BREVIS, ars longa, occasio præceps, experientia fallax, judicium difficile. Oportet autem non modo seipsum exhibere ea, quæ decent, facientem, sed et ægrum, et præsentes, et externa.

2. In alvi perturbationibus, et vomitibus sponte evenientibus, si qualia oportet purgari, purgentur, conducit, et facile tolerant: sin minus, contra. Sic et vasorum inanitio si, qualis debet, fiat, conducit et facile tolerant, sin minus, contra. Considerare igitur oportet, et regionem, et tempestatem, et ætatem, et morbos in quibus convenit, nec ne.

γ. Ἐν τοῖσι γυμναστικοῖσι αἱ ἐπ' ἄκρον εὐεξίαι σφαλεραὶ, ἢν ἐν τῷ ἐσχάτῳ ἔωσι· οὐ γὰρ δύνανται μένειν ἐν τῷ αὐτέῳ, οὐδὲ ἀτρεμέειν. ἐπεὶ δὲ οὐκ ἀτρεμέουσιν, οὐδέ τι δύνανται ἐπὶ τὸ βέλτιον ἐπιδιδόναι, λείπεται οὖν ἐπὶ τὸ χεῖρον. τουτέων οὖν εἵνεκεν τὴν εὐεξίην λύειν ξυμφέρει μὴ βραδέως, ἵνα πάλιν ἀρχὴν ἀναθρέψεος λάβῃ τὸ σῶμα. μηδὲ τὰς ξυμπτώσεας ἐς τὸ ἔσχατον ἄγειν· σφαλερὸν γάρ· ἀλλὰ ὁκοίη ἂν ἡ φύσις ᾖ τοῦ μέλλοντος ὑπομένειν, ἐς τοῦτο ἄγειν. ὡσαύτως δὲ καὶ αἱ κενώσεες αἱ ἐς τὸ ἔσχατον ἄγουσαι, σφαλεραί· καὶ πάλιν αἱ ἀναθρέψεες αἱ ἐν τῷ ἐσχάτῳ ἐοῦσαι, σφαλεραί.

δ. Αἱ λεπταὶ καὶ ἀκριβέες δίαιται, καὶ ἐν τοῖσι μακροῖσιν αἰεὶ πάθεσι, καὶ ἐν τοῖσιν ὀξέσι, οὗ μὴ ἐνδέχεται, σφαλεραί. αἱ ἐς τὸ ἔσχατον λεπτότητος ἀπηγμέναι δίαιται, χαλεπαί· καὶ πάλιν αἱ πληρώσεες αἱ ἐς τὸ ἔσχατον ἀπηγμέναι, χαλεπαί.

3. In exercitantibus boni habitus ad summum progressi, si in extremo fuerint, periculosi sunt: non enim possunt in eodem permanere, neque quiescere. Cum vero non quiescant, neque possint in melius proficere, reliquum est ut in deterius labantur. His igitur de causis pleniorem illum corporis habitum haud cunctanter solvere expedit, quo corpus rursus refectionis initium sumat. Neque tamen extenuationes ad extremum perducendæ, periculosum enim: sed qualis fuerit ejus qui sustinere debet natura, eo usque ducendæ. Eadem vero ratione inanitiones ad extremum deductæ periculosæ; contraque refectiones ad summum progressæ, periculosæ.

4. Tenuis et exquisita victus ratio, cum in morbis longis semper, tum in acutis, ubi non admittitur, periculosa. Victus qui ad summam pervenit tenuitatem, gravis; contraque repletiones ad extremum perductæ graves sunt.

ε. Ἐν τῇσι λεπτῇσι διαίτῃσι ἁμαρτάνουσι οἱ νοσέοντες, διὸ μᾶλλον βλάπτονται. πᾶν γὰρ ὃ ἂν γίνηται, μέγα γίνεται μᾶλλον, ἢ ἐν τῇσιν ὀλίγον ἁδροτέρῃσι διαίτῃσι. διὰ τοῦτο καὶ τοῖσι ὑγιαίνουσι σφαλεραὶ αἱ πάνυ λεπταὶ, καὶ καθεστηκυῖαι, καὶ ἀκριβέες δίαιται, ὅτι τὰ ἁμαρτανόμενα χαλεπώτερον φέρουσι. διὰ τοῦτο οὖν αἱ λεπταὶ καὶ ἀκριβέες δίαιται σφαλεραὶ ἐς τὰ πλεῖστα τῶν σμικρὸν ἁδροτέρων.

ς. Ἐς δὲ τὰ ἔσχατα νοσήματα, αἱ ἔσχαται θεραπεῖαι ἐς ἀκριβείην κράτισται.

ζ. Ὅκου μὲν οὖν κάτοξυ τὸ νόσημα, αὐτίκα τοὺς ἐσχάτους πόνους ἔχει, καὶ τῇ ἐσχάτως λεπτοτάτῃ διαίτῃ ἀναγκαῖον χρέεσθαι. ὅκου δὲ μὴ, ἀλλ' ἐνδέχεται ἁδροτέρως διαιτᾶν, τοσοῦτον ὑποκαταβαίνειν, ὁκόσον ἂν ἡ νοῦσος μαλθακωτέρη τῶν ἐσχάτων ᾖ.

η. Ὁκόταν δὲ ἀκμάζῃ τὸ νόσημα, τότε καὶ τῇ λεπτοτάτῃ διαίτῃ ἀναγκαῖον χρέεσθαι.

5. In tenui victus ratione delinquunt ægri, ob quod magis læduntur. Quidquid enim contingit, gravius his fit in tenui quam in paulo pleniore victus ratione. Idcirco etiam sanis periculosa est valde tenuis, et certo præscripta, ac exquisita victus ratio, quoniam errata gravius ferunt. Eam igitur ob causam tenuis et exquisitus victus paulo pleniore maxima ex parte periculosior est.

6. Ad summos morbos, summæ curationes diligentissime adhibit æ optime valent.

7. Cum ergo morbus est peracutus, extremos protinus obtinet labores, et extreme tenuissima victus ratione necessario utendum. Cum vero non est, sed pleniorem victum adhibere concessum est, tam à tenui victu se subducere oportet, quam morbus ab extremis recesserit.

8. Cum morbus in vigore fuerit, tum vel tenuissimo victu uti necesse est.

θ. Ξυντεκμαίρεσθαι δὲ χρὴ καὶ τὸν νοσέοντα, εἰ ἐξαρκέσει τῇ διαίτῃ πρὸς τὴν ἀκμὴν τῆς νόσου, καὶ πρότερον ἐκεῖνος ἀπαυδήσει πρότερος, καὶ οὐκ ἐξαρκέσει τῇ διαίτῃ, ἢ ἡ νοῦσος πρότερος ἀπαυδήσει, καὶ ἀμβλυνεῖται.

ι. Ὁκόσοισι μὲν οὖν αὐτίκα ἡ ἀκμὴ, αὐτίκα λεπτῶς διαιτᾶν. ὁκόσοισι δὲ ἐς ὕστερον ἡ ἀκμὴ, ἐς ἐκεῖνο καὶ πρὸ ἐκείνου σμικρὸν ἀφαιρετέον. ἔμπροσθεν δὲ πιοτέρως διαιτᾶν, ὡς ἂν ἐξαρκέσῃ ὁ νοσέων.

ια. Ἐν δὲ τοῖσι παροξυσμοῖσι ὑποστέλλεσθαι χρή· τὸ προστιθέναι γὰρ βλάβη. καὶ ὁκόσα κατὰ περιόδους παροξύνεται ἐν τοῖσι παροξυσμοῖσι ὑποστέλλεσθαι.

ιβ. Τοὺς δὲ παροξυσμοὺς καὶ τὰς καταστάσιας δηλώσουσιν αἱ νοῦσοι, καὶ αἱ ὧραι τοῦ ἔτεος, καὶ αἱ τῶν περιόδων πρὸς ἀλλήλας ἀντεπιδόσεες, ἤν τε κατὰ ἡμέρην, ἤν τε παρὰ ἡμέρην, ἤν τε καὶ διὰ πλέονος χρόνου γίνωνται. ἀτὰρ καὶ τοῖσιν ἐπιφαινομένοισιν, οἷον ἐν πλευριτικοῖσι

9. Considerare etiam oportet ægrotantem, an cum eo victu sufficiat ad morbi vigorem usque, an non prius ille deficiat, neque cum tali victu satis esse possit, vel prior morbus deficiat, et obtundatur.

10. Quibus igitur statim vigor adest, statim tenuiter alendi. Quibus vero postea vigor futurus est, iis sub ipsum vigoris tempus et paulo ante cibus subtrahendus. Antea vero uberius alendum, ut sufficiat æger.

11. In exacerbationibus cibum subtrahere oportet: exhibere enim noxium. Et cum morbi per periodos exacerbantur, in ipsis accessionibus cibum subtrahito.

12. Morbi, et anni tempestates, et periodorum collata inter se incremenra, sive quotidie, sive altero quoque die, sive etiam per majora intervalla fiant, paroxysmos et morborum conditiones indicabunt. Quinetiam et ex iis quæ superveniunt indicia sumuntur, velut in

πτύελον, ἣν αὐτίκα ἐπιφαίνηται ἀρχομένε, βραχύνει· ἣν δὲ ὕστερον ἐπιφαίνηται, μηκύνει. καὶ οὖρα, καὶ ὑποχωρήματα, καὶ ἱδρῶτες, καὶ δύσκριτα, καὶ εὔκριτα, καὶ βραχέα, καὶ μακρὰ τὰ νοσήματα, ἐπιφαινόμενα δηλοῖ.

ιγ. Γέροντες εὐφορώτατα νηςείην φέρεσι· δεύτερον, οἱ καθεςηκότες· ἥκιςα, μειράκια· πάντων δὲ μάλιςα παιδία· τουτέων δὲ αὐτέων ἃ ἂν τύχῃ αὐτὰ ἑωϋτέων προθυμότερα ἐόντα.

ιδ. Τὰ αὐξανόμενα πλεῖςον ἔχει τὸ ἔμφυτον θερμὸν, πλείςης οὖν δέεται τροφῆς· εἰ δὲ μὴ, τὸ σῶμα ἀναλίσκεται· γέρεσι δὲ ὀλίγον τὸ θερμόν· διὰ τοῦτο ἄρα ὀλίγων ὑπεκκαυμάτων δέονται· ὑπὸ πολλῶν γὰρ ἀποσβέννυται. διὰ τοῦτο καὶ οἱ πυρετοὶ τοῖσι γέρουσιν οὐκ ὁμοίως ὀξέες· ψυχρὸν γὰρ τὸ σῶμα.

ιε. Αἱ κοιλίαι χειμῶνος καὶ ἦρος, θερμόταται φύσει, καὶ ὕπνοι μακρότατοι. ἐν ταύτῃσιν οὖν τῇσι ὥρῃσι καὶ τὰ προσάρματα πλέω δοτέον·

pleuritide laborantibus sputum, si statim circa initia subappareat, morbum abbreviat: si vero posterius videatur, producit. Urinæ quoque, et alvi excrementa, et sudores, ubi apparuerint, judicatu faciles vel difficiles, et breves, vel longos fore morbos indicant.

13. Senes facillime jejunium ferunt: secundum eos ætate consistentes: minimum adolescentes: omnium vero minime pueri; atque inter ipsos qui alacriores sunt.

14. Qui crescunt plurimum habent calidi innati, plurimo igitur indigent alimento, alioqui corpus absumitur. Senibus vero paucus calor, idcirco sane paucis fomitibus indigent, a multis namque extinguitur. Eamdem etiam ob causam neque senibus, febres perinde acutæ contingunt: frigidum enim est eorum corpus.

15. Ventres hyeme et vere, natura calidissimi, somnique longissimi. His igitur temporibus copiosiora cibaria exhibenda;

καὶ γὰρ τὸ ἔμφυτον θερμὸν πλέον ἔχει· τροφῆς οὖν πλέονος δέονται. σημήϊον, αἱ ἡλικίαι καὶ οἱ ἀθληταί.

ις. Αἱ ὑγραὶ δίαιται πᾶσι τοῖσι πυρεταίνουσι ξυμφέρουσι· μάλιστα δὲ παιδίοισι, καὶ τοῖσιν ἄλλοισι τοῖσι οὕτω εἰθισμένοισι διαιτᾶσθαι.

ιζ. Καὶ οἷσι ἅπαξ, ἢ δὶς, καὶ πλέω, ἢ ἐλάσσω, καὶ κατὰ μέρος· δοτέον δέ τι καὶ τῷ ἔθει, καὶ τῇ ὥρῃ, καὶ τῇ χώρῃ, καὶ τῇ ἡλικίῃ.

ιη. Θέρεος καὶ φθινοπώρου σιτία δυσφορώτατα φέρουσι· χειμῶνος, ῥήϊστα· ἦρος, δεύτερον.

ιθ. Τοῖσιν ἐν τῇσι περιόδοισι παροξυνομένοισι μηδὲν διδόναι, μηδὲ ἀναγκάζειν, ἀλλὰ ἀφαιρέειν τῶν προθέσεων πρὸ τῶν κρίσεων.

κ. Τὰ κρινόμενα, καὶ τὰ κεκριμένα ἀρτίως, μὴ κινέειν, μηδὲ νεωτεροποιέειν, μήτε φαρμακίῃσι, μήτε ἄλλοισιν ἐρεθισμοῖσιν, ἀλλὰ ἐᾶν.

siquidem

siquidem plurimum inest calidi innati, ideoque copiosiore indigent alimento. Quod indicant ætates et athletæ.

16. Victus ratio humida, omnibus febricitantibus, pueris vero maxime, atque aliis qui ita vivere consueverunt, confert.

17. Quibusdam semel aut bis, et aliis copiosior aut paucior, aut per partes cibus offerendus est. Aliquid autem et tempori, et regioni, et ætati, et consuetudini concedendum.

18. Æstate et autumno cibos gravissime ferunt: hyeme facillime: deinde vere.

19. Quibus per circuitus accesssiones contingunt, nihil dato, neque cogito, sed de cibis ante judicationes detrahito.

20. Quæ judica... aut judicata sunt perfecte, ea neque moveto, neque medicamentis, neque aliis irritamentis innovato, sed sinito.

κα. Α῝ δεῖ ἄγειν, ὅκε ἂν μάλιςα ῥέπη ἡ φύσις, ταύτῃ ἄγειν, διὰ τῶν ξυμφερόντων χωρίων.

κβ. Πέπονα φαρμακεύειν καὶ κινέειν, μὴ ὠμὰ, μηδὲ ἐν ἀρχῇσιν, ἢν μὴ ὀργᾷ· τὰ δὲ πολλὰ ἐκ ὀργᾷ.

κγ. Τὰ χωρέοντα μὴ τῷ πλήθεϊ τεκμαίρεσθαι, ἀλλ᾽ ὡς ἂν χωρέῃ οἷα δεῖ, καὶ φέρῃ εὐφόρως· καὶ ὅκε δεῖ μέχρι λειποθυμίης ἄγειν· καὶ τῦτο ποιέειν, ἢν ἐξαρκέσῃ ὁ νοσέων.

κδ. Ἐν τοῖσιν ὀξέσι πάθεσιν ὀλιγάκις, καὶ ἐν ἀρχῇσι, τῇσι φαρμακίησι χρέεσθαι, καὶ τῦτο προεξευκρινήσαντας ποιέειν.

κε. Ην, οἷα δεῖ καθαίρεσθαι, καθαίρηται, ξυμφέρει τε καὶ εὐφόρως φέρουσι· τὰ δὲ ἐναντία, δυσχερῶς.

21. Quæ educere oportet, quo maxime vergit natura, eo ducito, per loca convenientia.

22. Cocta medicamento purgante educito ac moveto, minime cruda, neque per initia, nisi turgeant, multa vero non turgent.

23. Quæ prodeunt copia minime æstimanda, sed ut qualia expedit, prodeant, et æger facile ferat. Atque ubi ad animi defectionem usque educere oportet, id etiam faciendum, si æger sufficere queat.

24. In morbis acutis raro, et per initia medicamentis purgantibus utendum, idque diligenti ante adhibita circumspectione faciendum.

25. Si qualia purgari debent, purgantur, confert et facile tolerant, ubi contra accidit, difficulter.



ΤΜΗΜΑ ΔΕΥΤΕΡΟΝ.

Α.

Ἐν ᾧ νοσήματι ὕπνος πόνον ποιέει, θανάσιμον· ἢν δὲ ὕπνος ὠφελέῃ, οὐ θανάσιμον.

β. Ὅκου παραφροσύνην ὕπνος παύει, ἀγαθόν.

γ. Ὕπνος, ἀγρυπνίη, ἀμφότερα μᾶλλον τοῦ μετρίου γενόμενα, κακόν.

δ. Οὐ πλησμονὴ, οὐδὲ λιμὸς, οὐδὲ ἄλλο οὐδὲν ἀγαθὸν, ὅ,τι ἂν μᾶλλον τῆς φύσεος ἔῃ.

ε. Κόποι αὐτόματοι φράζουσι νούσους.

ς. Ὁκόσοι πονέοντές τι τοῦ σώματος, τὰ πολλὰ τῶν πόνων οὐκ αἰσθάνονται, τουτέοισιν ἡ γνώμη νοσέει.

ζ. Τὰ ἐν πολλῷ λεπτυνόμενα, νωθρῶς ἐπανατρέφειν· τὰ δὲ ἐν ὀλίγῳ, ὀλίγως.

η. Ἢν ἐκ νούσου τροφὴν λαμβάνων μὴ ἰσχύῃ, σημαίνει ὅτι πλείονι τροφῇ χρέεται· ἢν

SECTIO SECUNDA.

I.

Quo in morbo somnus laborem facit, lethale; quod si juvet somnus, lethale non est.

2. Ubi delirium somnus sedat, bonum.

3. Somnus, vigilia, utraque modum excedentia, malum.

4. Neque satietas, neque fames, neque aliud quidquam bonum, quod naturæ modum excesserit.

5. Lassitudines sponte obortæ morbos prænunciant.

6. Quibus pars aliqua corporis dolet, neque omnino dolorem sentiunt, iis mens ægrotat.

7. Attenuata longo temporis intervallo lente refice, at quæ brevi, breviter.

8. Si quis ex morbo cibum capiens vires non recipiat, eum copiosiore alimento uti

δὲ τροφὴν μὴ λαμβάνοντος τȣτο γίνηται, χρὴ εἰδέναι ὅτι κενώσεος δέεται.

θ. Τὰ σώματα χρὴ, ὅκȣ τὶς βȣ́λεται καθαίρειν, εὔροα ποιέειν.

ι. Τὰ μὴ καθαρὰ τῶν σωμάτων ὁκόσων ἂν θρέψῃς, μᾶλλον βλάψεις.

ια. Ρᾷον πληρȣ͂σθαι ποτȣ͂ ἢ σιτίȣ.

ιβ. Τὰ ἐγκαταλιμπανόμενα ἐν τῇσι νόσοισι μετὰ κρίσιν, ὑποςροφώδεα.

ιγ. Ὁκόσοισι κρίσις γίνεται, τȣτέοισι ἡ νὺξ δύσφορος, ἡ πρὸ τȣ͂ παροξυσμȣ͂· ἡ δὲ ἐπιȣ͂σα εὐφορωτέρη, ὡς ἐπὶ τὸ πȣλύ.

ιδ. Εν τῇσι τῆς κοιλίης ῥύσεσι, αἱ μεταβολαὶ τῶν διαχωρημάτων ὠφελέȣσιν, ἢν μὴ ἐς τὰ πονηρὰ μεταβάλλῃ.

ιε. Οκȣ φάρυγξ νοσέει, ἢ φύματα ἐν τῷ σώματι ἐκφύεται, σκέπτεσθαι τὰς ἐκκρίσιας· ἢν γὰρ χολώδεες ἔωσι, τὸ σῶμα ξυννοσέει· ἢν δὲ ὅμοιαι τοῖσι ὑγιαίνȣσι γίνωνται, ἀσφαλὲς τὸ σῶμα τρέφειν.

significat. Quod si cibum non capiente istud contingat, inanitione indigere sciendum est.

9. Cum quis corpora purgare volet, ea facile fluentia faciat oportet.

10. Impura corpora quo plus nutriveris, eo magis lædes.

11. Potu quam cibo refici facilius est.

12. Quæ in morbis post judicationem intus relinquuntur, recidivam faciunt.

13. Quibus judicatio instat, iis nox accessionem præcedens, gravis: quæ vero sequitur, plærumque levior.

14. In alvi fluxionibus dejectionum mutationes, nisi in prava commutentur, juvant.

15. Cum fauces ægrotant, aut tubercula in corpore exoriuntur, excretiones inspicito; si namque biliosæ sint, corpus simul ægrotat: at si sanorum similes extiterint, tutum est corpus nutrire.

ιϛ. Οὐκ λιμὸς, ὠ δεῖ πονέειν.

ιζ. Οὐκ ἂν ἡ τροφὴ πλέων παρὰ φύσιν ἐσέλθῃ, νοῦσον ποιέει· δηλοῖ δὲ ἡ ἴησις.

ιη. Τῶν τρεφομένων ἀθρόως καὶ ταχέως, ταχεῖαι καὶ αἱ διαχωρήσεες γίνονται.

ιθ. Τῶν ὀξέων νουσημάτων ὠ πάμπαν ἀσφαλέες αἱ προδιαγορεύσεες, οὔτε τοῦ θανάτου, οὔτε τῆς ὑγιείης.

κ. Ὁκόσοισι νέοισιν ἐοῦσι αἱ κοιλίαι ὑγραί εἰσι, τουτέοισιν ἀπογηράσκουσι ξηραίνονται· ὁκόσοισι δὲ νέοισιν ἐοῦσι ξηραὶ εἰσὶ, τουτέοισι ἀπογηράσκουσι, ὑγραίνονται.

κα. Λιμοῦ θώρηξις λύει.

κβ. Ἀπὸ πλησμονῆς ὁκόσα ἂν νουσήματα γίνηται, κένωσις ἰῆται, καὶ ὁκόσα ἀπὸ κενώσεος, πλησμονὴ· καὶ τῶν ἄλλων ἡ ὑπεναντίωσις.

κγ. Τὰ ὀξέα τῶν νουσημάτων κρίνεται ἐν τεσσαρεσκαίδεκα ἡμέρῃσι.

κδ. Τῶν ἑπτὰ, ἡ τετάρτη ἐπίδηλος. ἑτέρης ἑβδομάδος ἡ ὀγδόη ἀρχή. θεωρητὴ δὲ ἡ ἐνδεκάτη·

16. Ubi fames, laborandum non est.

17. Ubi copiosior præter naturam cibus ingestus fuerit, morbum creat; manifesta vero curatio.

18. Eorum quæ confertim et celeriter alunt, celeres quoque fiunt excretiones.

19. Morborum acutorum non omnino tutæ sunt prædictiones, neque salutis, neque mortis.

20. Quibus per juventutem alvi sunt humidæ, iis senescentibus exsiccantur; quibus vero in juventute siccæ sunt, iis senescentibus humectantur.

21. Famem vini meracioris potio solvit.

22. A repletione quicunque fiunt morbi, eos inanitio curat: et quicunque ab inanitione, eos refectio: et in cæteris contrarietas remedio est.

23. Morbi acuti judicantur intra dies quatuordecim.

24. Quartus septenariorum index est. Octavus alterius septimanæ est principium.

αὕτη γάρ ἐστι τετάρτη τῆς ἑτέρης ἑβδομάδος· θεωρητὴ δὲ πάλιν ἡ ἑπτακαιδεκάτη· αὕτη γάρ ἐστι τετάρτη μὲν ἀπὸ τῆς τεσσαρεσκαιδεκάτης, ἑβδόμη δὲ ἀπὸ τῆς ἑνδεκάτης.

κε. Οἱ θερινοὶ τεταρταῖοι, τὰ πολλὰ γίνονται βραχέες· οἱ δὲ φθινοπωρινοὶ, μακροὶ, καὶ μάλιστα οἱ πρὸς τὸν χειμῶνα ξυνάπτοντες.

κϛ. Πυρετὸν ἐπὶ σπασμῷ βέλτιον γενέσθαι, ἢ σπασμὸν ἐπὶ πυρετῷ.

κζ. Τοῖσι μὴ κατὰ λόγον κουφίζουσιν, οὐ δεῖ πιστεύειν, οὐδὲ φοβέεσθαι λίην τὰ μοχθηρὰ γινόμενα, παρὰ λόγον. τὰ γὰρ πολλὰ τῶν τοιουτέων ἀβέβαια, καὶ οὐ πάνυ τι διαμένειν, οὐδὲ χρονίζειν εἴωθε.

κη. Τῶν πυρεσσόντων μὴ παντάπασιν ἐπιπολαίως, τὸ διαμένειν καὶ μηδὲν ἐνδιδόναι τὸ σῶμα, ἢ καὶ ξυντήκεσθαι μᾶλλον τοῦ κατὰ λόγον, μοχθηρόν· τὸ μὲν γὰρ μῆκος νούσου σημαίνει, τὸ δὲ ἀσθενείην.

Undecimus etiam spectandus dies, ipse enim secundæ septimanæ quartus est. Rursus quoque spectandus decimus septimus, hic enim est quartus a decimo quarto, septimus vero ab undecimo.

25. Quartanæ æstivæ plerumque breves existunt, autumnales vero longæ, præsertim vero quæ hyemem attingunt.

26. Convulsioni febrem supervenire melius est, quam convulsionem febri.

27. Iis quæ non secundum rationem levant, fidere non oportet, neque admodum metuere mala quæ præter rationem eveniunt. Multa enim horum instabilia sunt, neque admodum permanere, neque perseverare consueverunt.

28. Corpus eorum qui non omnino leviter febricitant, in eodem consistere, et nihil remittere, vel etiam magis quam ratio postulat extenuari, grave est. Illud siquidem morbi diuturnitatem, hoc vero imbecillitatem significat.

κθ. Ἀρχομένων τῶν νούσων, ἤν τι δοκέῃ κινέειν, κίνει· ἀκμαζουσῶν δὲ, ἡσυχίην ἔχειν βέλτιόν ἐστι.

λ. Περὶ τὰς ἀρχὰς καὶ τὰ τέλεα πάντα ἀσθενέστερα· περὶ δὲ τὰς ἀκμὰς, ἰσχυρότερα.

λα. Τῷ ἐξ ἀῤῥωστίης εὐσιτεῦντι, μηδὲν ἐπιδιδόναι τῷ σώματι, μοχθηρόν.

λβ. Ως τὰ πολλὰ πάντες οἱ φαύλως ἔχοντες, κατὰ ἀρχὰς μὲν εὐσιτεῦντες, καὶ μηδὲν ἐπιδιδόντες, πρὸς τῷ τέλει πάλιν ἀσιτέουσι. οἱ δὲ κατὰ ἀρχὰς μὲν ἀσιτεῦντες ἰσχυρῶς, ὕστερον δὲ εὐσιτεῦντες, βέλτιον ἀπαλλάσσουσι.

λγ. Εν ἁπάσῃ νούσῳ τὸ ἐῤῥῶσθαι τὴν διάνοιαν, καὶ εὖ ἔχειν πρὸς τὰς προσφορὰς, ἀγαθόν· τὸ δὲ ἐναντίον, κακόν.

λδ. Εν τῇσι νούσοισι ἧσσον κινδυνεύουσι, οἷσιν ἂν οἰκείη τῆς φύσεος, καὶ τῆς ἡλικίης, καὶ τῆς ἕξεος, καὶ τῆς ὥρης ἡ νοῦσος ᾖ, ἢ οἷσιν ἂν μὴ οἰκείη κατά τι τουτέων.

29. Incipientibus morbis, si quid movendum videtur, moveto. Vigentibus vero, quiescere præstat.

30. Circa initia et fines omnia, sunt leviora, at circa vigores vehementiora.

31. Ex morbo belle comedenti corpus nihil proficere, malum.

32. Omnes fere male qui se habent, circa initia quidem cibum bene sumentes, neque quidquam proficientes, circa finem rursus cibum non appetunt. At, qui circa initia vehementer abstinent, postea vero cibos probe appetunt, ii melius degunt.

33. Mente constare, et bene habere ad ea quæ offeruntur, quovis in morbo bonum, contra vero, malum.

34. In morbis minus periclitantur, quorum naturæ, et ætati, et habitui, et anni tempestati, morbus cognatus fuerit, quam quibus in horum aliquo non cognatus fuerit.

λε. Ἐν ἁπάσῃσι τῇσι νούσοισι, τὰ περὶ τὸν ὀμφαλὸν καὶ τὸ ἦτρον πάχος ἔχειν, βέλτιόν ἐστι· τὸ δὲ σφόδρα λεπτὸν καὶ ἐκτετηκὸς, μοχθηρόν· ἐπισφαλὲς δὲ τὸ τοιοῦτον καὶ πρὸς τὰς κάτω καθάρσιας.

λϛ. Οἱ ὑγιεινῶς ἔχοντες τὰ σώματα, ἐν τῇσι φαρμακείῃσι καθαιρόμενοι, ἐκλύονται ταχέως, καὶ οἱ πονηρῇ τροφῇ χρεόμενοι.

λζ. Οἱ εὖ τὰ σώματα ἔχοντες, φαρμακεύεσθαι ἐργώδεες.

λη. Τὸ σμικρῷ χεῖρον καὶ πόμα καὶ σιτίον, ἥδιον δὲ, τῶν βελτιόνων μὲν, ἀηδεστέρων δὲ, μᾶλλον αἱρετέον.

λθ. Οἱ πρεσβῦται τῶν νέων, τὰ μὲν πολλὰ νοσέουσιν ἧσσον· ὁκόσα δὲ ἂν αὐτέοισι χρόνια νοσήματα γένηται, τὰ πολλὰ ξυναποθνήσκει.

μ. Βράγχοι καὶ κόρυζαι τοῖσι σφόδρα πρεσβύτῃσιν οὐ πεπαίνονται.

μα. Οἱ ἐκλυόμενοι πολλάκις καὶ ἰσχυρῶς, ἄνευ φανερῆς προφάσιος, ἐξαπίνης τελευτῶσι.

35. In omnibus morbis partes quæ sunt ad umbilicum et imum ventrem crassitudinem habere præstat; valde autem tenues esse et tabefactas, pravum. Sed hoc quoque ad inferiores purgationes periculosum.

36. Qui sana habent corpora pharmacis purgati, cito exsolvuntur, atque etiam qui pravo utuntur cibo.

37. Qui bene habito sunt corpore, ad medicationes moleste habent.

38. Cibus et potus paulo pejor, suavior autem, melioribus quidem, sed insuavioribus, anteponendus.

39. Ut plurimum quidem senes juvenibus ægrotant minus: at, qui ipsis morbi diuturni contingunt, eos ad mortem comitari solent.

40. Raucedines et gravedines in valde senibus non coquuntur.

41. Qui crebro et vehementer citra manifestam causam animo linquuntur, repente moriuntur.

μβ. Λύειν ἀποπληξίην ἰσχυρὴν μὲν ἀδύνατον, ἀσθενέα δὲ ȣ̓ ῥηΐδιον.

μγ. Τῶν ἀπαγχομένων καὶ καταλυομένων, μήπω δὲ τεθνηκότων, οὐκ ἀναφέρȣσι, οἷσιν ἂν ἀφρὸς ἔῃ περὶ τὸ σόμα.

μδ. Οἱ παχέες σφόδρα κατὰ φύσιν, ταχυθάνατοι γίνονται μᾶλλον τῶν ἰσχνῶν.

με. Τῶν ἐπιληπτικῶν τοῖσι νέοισιν ἀπαλλαγὴν αἱ μεταβολαὶ μάλιστα τῆς ἡλικίης, καὶ τῶν ὡρέων, καὶ τῶν τόπων, καὶ τῶν βίων ποιέȣσι.

μϛ. Δύο πόνων ἅμα γινομένων, μὴ κατὰ τὸν αὐτὸν τόπον, ὁ σφοδρότερος ἀμαυροῖ τὸν ἕτερον.

μζ. Περὶ τὰς γενέσιας τȣ̃ πύȣ, οἱ πόνοι καὶ οἱ πυρετοὶ ξυμβαίνȣσι μᾶλλον, ἢ γενομένȣ.

μη. Ἐν ἁπάσῃ κινήσει σώματος, ὁκόταν ἄρχηται πονέειν, τὸ διαναπαύειν εὐθὺς ἄκοπον.

μθ. Οἱ εἰθισμένοι τὰς ξυνήθεας πόνους φέρειν, κἢν ἔωσιν ἀσθενέες, ἢ καὶ γέροντες,

42. Validam quidem apoplexiam curare est impossibile, debilem vero non facile.

43. Ex strangularis et dissolutis, necdum tamen mortuis, ii non ad vitam redeunt, quibus spuma circa os fuerit.

44. Natura admodum crassi, celerius intereunt quam graciles.

45. Ex comitialibus morbis, juvenes mutatione potissimum ætatis, et tempestatum, et regionum, et victuum, liberationem accipiunt.

46. Duobus doloribus simul obortis, non in eodem loco, vehementior alterum obscurat.

47. Dolores et febres contingunt magis circa puris generationem, quam eo confecto.

48. Quovis in corporis motu, simul ac farigari cœperit, quies confestim lassitudinis est remedium.

49. Qui solitos labores ferre assueverunt, quamvis invalidi sint, aut etiam senes, eos

τῶν ἀξυνηθέων, ἰσχυρῶν τε καὶ νέων, ῥᾶον φέρεται.

ν. Τὰ ἐκ πολλοῦ χρόνου ξυνήθεα, κἢν ἢ χείρω, τῶν ἀξυνηθέων ἧσσον ἐνοχλέειν εἴωθε. δεῖ οὖν καὶ ἐς τὰ ἀξυνήθεα μεταβάλλειν.

να. Τὸ κατὰ πολὺ καὶ ἐξαπίνης κενοῦν, ἢ πληροῦν, ἢ θερμαίνειν, ἢ ψύχειν, ἢ ἄλλως ὁκωσοῦν τὸ σῶμα κινέειν, σφαλερόν· διότι πᾶν τὸ πολὺ τῇ φύσει πολέμιον· τὸ δὲ κατὰ ὀλίγον, ἀσφαλές· καὶ ἄλλως ἢν ἐξ ἑτέρου μεταβαίνῃ ἐπὶ ἕτερον.

νβ. Πάντα κατὰ λόγον ποιεῦντι, μὴ γινομένων τῶν κατὰ λόγον, μὴ μεταβαίνειν ἐπὶ ἕτερον, μένοντος τοῦ δόξαντος ἐξ ἀρχῆς.

νγ. Οκόσοι τὰς κοιλίας ὑγρὰς ἔχουσι, νέοι μὲν ἐόντες, βέλτιον ἀπαλλάσσουσι, τῶν τὰς ξηρὰς ἐχόντων· ἐς δὲ τὸ γῆρας, χεῖρον ἀπαλλάσσουσι· ξηραίνονται γὰρ, ὡς ἐπὶ τὸ πολὺ, τοῖσιν ἀπογηράσκουσι.

facilius ferunt, quam qui non assueti, quamvis robusti et juvenes.

50. Quæ a longo tempore assueta sunt, quamvis deteriora, insuetis minus molesta esse solent. Quare ad insolita etiam facienda mutatio.

51. Confertim et repente vacuare, vel implere, vel calefacere, vel refrigerare, vel utcumque aliter corpus movere, periculosum: omne siquidem nimium naturæ inimicum. Verum quod paulatim fit, securum est, tum vel maxime si ab uno ad alterum transitus fiat.

52. Omnia secundum rationem facienti, neque pro ratione evenientibus, non ad aliud transeundum, manente eo quod ab initio visum est.

53. Quicumque alvos habent humidas, ii quidem dum juvenes sunt, melius degunt, quam qui siccas habent: at in senectute pejus degunt, ipsis enim senescentibus ut plurimum resiccantur.

νδ. Μεγέθει δὲ σώματος, ἐννεάσαι μὲν, ἐλευθέριον καὶ οὐκ ἀειδές· ἐγγηρᾶσαι δὲ, δύσχρηστον, καὶ χεῖρον τῶν ἐλασσόνων.



54. Procero corpore, juventutem quidem degere, liberale nec indecorum; insenescere vero incommodum, et brevitate deterius.



ΤΜΗΜΑ ΤΡΙΤΟΝ.

Α.

Αι μεταβολαὶ τῶν ὡρέων, μάλιστα τίκτουσι νουσήματα, καὶ ἐν τῇσιν αὐτέῃσι ὥρῃσι αἱ μεγάλαι μεταλλαγαὶ ἢ ψύξεος, ἢ θάλψεος, καὶ τἄλλα κατὰ λόγον οὕτω.

β. Τῶν φύσεων, αἱ μὲν πρὸς θέρος, αἱ δὲ πρὸς χειμῶνα, εὖ ἢ κακῶς πεφύκασι.

γ. Καὶ τῶν νούσων ἄλλαι πρὸς ἄλλας εὖ ἢ κακῶς πεφύκασι· καὶ ἡλικίαι τινὲς πρὸς ὥρας, καὶ χώρας, καὶ διαίτας.

δ. Εν τῇσι ὥρῃσι, ὅταν τῆς αὐτέης ἡμέρης, ὁτὲ μὲν θάλπος, ὁτὲ δὲ ψύχος γίνηται, φθινοπωρινὰ τὰ νουσήματα προσδέχεσθαι.

ε. Νότοι βαρυήκοοι, ἀχλυώδεες, καρηβαρικοὶ, νωθροὶ, διαλυτικοί· ὁκόταν οὕτω δυναστεύῃ,

SECTIO TERTIA.

I.

TEMPESTATUM anni mutationes potissimum morbos pariunt, et in ipsis anni tempestatibus magnæ mutationes aut frigoris, aut caloris, aliaque pro ratione ad hunc modum.

2. Naturæ hæ quidem ad æstatem, aliæ vero ad hyemem, bene vel male se habent.

3. Morbi quoque alii ad alias anni tempestates bene vel male habent: et ætates quædam ad anni tempestates, et regiones, et victus rationes.

4. Per anni tempestates, quando eodem die, modo calor, modo frigus fit, autumnales morbos expectato.

5. Austri auditionis hebetudinem, visionis caliginem, capitis gravitatem

τοιαῦτα ἐν τῇσιν ἀῤῥωςίῃσι πάχουσι· ἢν δὲ βόρειον ἔῃ, βῆχες, φάρυγγες, κοιλίαι σκληραὶ, δυσχρίαι, φρικώδεες, ὀδύναι πλευρέων, ςηθέων· ὁκόταν ὅτω δυναςεύῃ, τοιαῦτα προσδέχεσθαι.

ϛ. Ὁκόταν θέρος γένηται ἦρι ὅμοιον, ἱδρῶτας ἐν τοῖσι πυρετοῖσι πολλὰς προσδέχεσθαι.

ζ. Ἐν τοῖσιν αὐχμοῖσι πυρετοὶ ὀξέες γίνονται· καὶ ἢν μὲν ἐπὶ πλέον ἔῃ τὸ ἔτος τοιοῦτον ἐὸν, ὁκοίην καὶ τὴν κατάςασιν ἐποίησε, ὡς ἐπὶ τὸ πολὺ, καὶ τὰ νοσήματα τοιαῦτα δεῖ προσδέχεσθαι.

η. Ἐν τοῖσι καθεςεῶσι καιροῖσιν, ἢν ὡραίως τὰ ὡραῖα ἀποδιδῶσιν, εὐςαθέες καὶ εὐκρινέες αἱ νοῦσοι γίνονται· ἐν δὲ τοῖσιν ἀκαταςάτοισιν, ἀκατάςατοι τε, καὶ δύσκριτοι.

θ. Ἐν φθινοπώρῳ ὀξύταται αἱ νοῦσοι, καὶ θανατωδέςαται τοὐπίπαν· ἦρ δὲ ὑγιεινότατον, καὶ ἥκιςα θανατῶδες.

inducunt,

inducunt, corpus torpidum et languidum reddunt. Cum sic invaluerit tempestas, ista in morbis patiuntur. Sin aquilonia fuerit, tusses, faucium asperitates, alvi duræ, urinæ difficultates, horrores, laterum et pectoris dolores fiunt. Cum sic invaluerit, talia expectato.

6. Cum æstas veri similis fuerit, in febribus copiosos sudores expecta.

7. Per siccitates febres acutæ fiunt; et siquidem annus magna ex parte talis extiterit, qualem constitutionem effecerit, tales ut plurimum quoque morbos expectare oportet.

8. In temporibus bene et ordine constitutis, cum tempestiva tempestive redduntur, morbi constantes et judicatu faciles fiunt. In male vero constitutis, inconstantes quidem, et judicatu difficiles.

9. Per autumnum morbi acutissimi, et exitiosissimi magna ex parte contingunt. Ver autem saluberrimum, et minime exitiale.

ι. Τὸ φθινόπωρον τοῖσι φθίνουσι κακόν.

ια. Περὶ δὲ τῶν ὡρέων, ἢν μὲν ὁ χειμὼν αὐχμηρὸς καὶ βόρειος γένηται, τὸ δὲ ἔαρ ἔπομβρον καὶ νότιον, ἀναγκαίη τοῦ θέρεος, πυρετοὺς ὀξέας, καὶ ὀφθαλμίας, καὶ δυσεντερίας γίνεσθαι, μάλιστα τῇσι γυναιξὶ, καὶ ἀνδράσι τοῖσι ὑγροῖσι τὰς φύσεας.

ιβ. Ην δὲ νότιος ὁ χειμὼν, καὶ ἔπομβρος, καὶ εὔδιος γίνηται, τὸ δὲ ἔαρ αὐχμηρὸν καὶ βόρειον, αἱ μὲν γυναῖκες ἦσι οἱ τόκοι πρὸς τὸ ἦρ, ἐκ πάσης προφάσεος ἐκτιτρώσκουσι. αἳ δὲ ἂν τέκωσιν, ἀκρατέα καὶ νοσώδεα τὰ παιδία τίκτουσι, ὥστε ἢ παραυτίκα ἀπόλλυσθαι, ἢ λεπτὰ καὶ νοσώδεα ζῆν ἐόντα. τοῖσι δὲ ἄλλοισι βροτοῖσι δυσεντερίαι, καὶ ὀφθαλμίαι ξηραὶ γίνονται· τοῖσι δὲ πρεσβυτέροισι κατάῤῥοοι ξυντόμως ἀπολλύντες.

ιγ. Ην δὲ τὸ θέρος αὐχμηρὸν καὶ βόρειον γένηται, τὸ δὲ φθινόπωρον ἔπομβρον καὶ νότιον,

10. Autumnus tabidis malus.

11. Quod autem ad anni tempestates attinet, si quidem hyems sicca et aquilonia fuerit, ver autem pluvium et austrinum, febres acutas, et ophthalmias, et dysenterias, æstate fieri necesse est, maxime mulieribus, et viris natura humidis.

12. At si hiems austrina et pluvia, et placida fuerit, ver autem siccum er aquilonium, mulieres quidem quibus partus vere imminet, ex quavis causa abortiunt. Quæ vero pepererint, imbecillos et morbosos infantes edunt, ita ut vel starim intereant, vel invalidi er valetudinarii vivant. Cæteris autem mortalibus dysenteriæ, et ophthalmiæ aridæ, oriuntur : senioribus vero catarrhi brevi interficientes.

13. Si vero æstas sicca et aquilonia, autumnus vero pluvius et austrinus fuerit,

κεφαλαλγίαι ἐς τὸν χειμῶνα γίνονται, καὶ βῆχες, καὶ βράγχοι, καὶ κόρυζαι· ἐνίοισι δὲ καὶ φθίσιες.

ιδ. Ην δὲ βόρειον ἔῃ καὶ ἄνυδρον, τοῖσι μὲν ὑγροῖσιν ἐοῦσι τὰς φύσιας, καὶ τῇσι γυναιξὶ ξύμφορον· τοῖσι δὲ λοιποῖσιν, ὀφθαλμίαι ἔσονται ξηραὶ, καὶ πυρετοὶ ὀξέες, καὶ πολυχρόνιοι, ἐνίοισι δὲ καὶ μελαγχολίαι.

ιε. Τῶν δὲ καταστάσεων τοῦ ἐνιαυτοῦ, τὸ μὲν ὅλον, οἱ αὐχμοὶ τῶν ἐπομβρίων εἰσὶ ὑγιεινότεροι, καὶ ἧσσον θανατώδεες.

ις. Νοσήματα δὲ ἐν μὲν τῇσιν ἐπομβρίῃσι ὡς τὰ πολλὰ γίνεται, πυρετοί τε μακροὶ, καὶ κοιλίης ῥύσεες, καὶ σηπεδόνες, καὶ ἐπίληπτοι, καὶ ἀπόπληκτοι, καὶ κυνάγχαι· ἐν δὲ τοῖσιν αὐχμοῖσι, φθινώδεες, ὀφθαλμίαι, ἀρθρίτιδες, στραγγουρίαι, καὶ δυσεντερίαι.

ιζ. Αἱ δὲ καθ' ἡμέρην καταστάσεες, αἱ μὲν βόρειοι, τά τε σώματα ξυνιστῶσι, καὶ εὔτονα, καὶ εὐκίνητα, καὶ εὐχροώτερα, καὶ εὐηκοώτερα

capitis dolores hyeme oriuntur, et tusses, et raucitates, et gravedines, nonnullis etiam et tabes.

14. Si vero aquilonius sit et sine pluviis autumnus, viris quidem qui natura sunt humidi, et mulieribus proderit: reliquis autem ophthalmiæ erunt siccæ, et febres acutæ, et longæ, nonnullis etiam melancholiæ.

15. Ex anni autem constitutionibus, in totum, siccitates assiduis imbribus sunt salubriores, minusque lethales.

16. Per assiduos imbres morbi quidem magna ex parte oriuntur, cum febres longæ, tum alvi fluxiones, putredines, epilepsiæ, apoplexiæ, et anginæ. Per siccitates autem, tabitudines, ophthalmiæ, arthritides, urinæ stillicidia, et dysenteriæ.

17. Quotidianæ autem constitutiones, aquiloniæ quidem corpora densant, valentiora, expeditiora, coloratiora, et

ποιέουσι, καὶ τὰ κοιλίας ξηραίνουσι, καὶ τὰ ὄμματα δάκνουσι, καὶ περὶ τὸν θώρηκα ἄλγημα, ἤν τι προϋπάρχῃ, μᾶλλον πονέουσι. αἱ δὲ νόσοι διαλύουσι τὰ σώματα, καὶ ὑγραίνουσι, καὶ βαρυηκοΐας, καὶ καρηβαρίας ποιέουσι, καὶ ἰλίγγους ἐν τοῖσιν ὀφθαλμοῖσι, καὶ τοῖσι σώμασι δυσκινησίην, καὶ τὰς κοιλίας ὑγραίνουσι.

ιη. Κατὰ δὲ τὰς ὥρας, τοῦ μὲν ἦρος καὶ ἄκρου τοῦ θέρεος οἱ παῖδες, καὶ οἱ τουτέων ἐχόμενοι τῇσι ἡλικίῃσιν, ἄριστά τε διάγουσι, καὶ ὑγιαίνουσι μάλιστα· τοῦ δὲ θέρεος, καὶ τοῦ φθινοπώρου, μέχρι μέν τινος, οἱ γέροντες· τὸ δὲ λοιπὸν τοῦ φθινοπώρου, καὶ τοῦ χειμῶνος, οἱ μέσοι τῇσι ἡλικίῃσι.

ιθ. Νουσήματα πάντα μὲν ἐν πάσῃσι τῇσι ὥρῃσι γίνεται· μᾶλλον δὲ ἔνια κατὰ ἐνίας αὐτέων καὶ γίνεται, καὶ παροξύνεται.

κ. Τοῦ μὲν γὰρ ἦρος τὰ μανικὰ, καὶ τὰ μελαγχολικὰ, καὶ τὰ ἐπιληπτικὰ, καὶ αἵματος ῥύσιες, καὶ κυνάγχαι, καὶ κόρυζαι, καὶ βράγχοι,

melius audientia reddunt, sed alvos exsiccant, oculosque mordent, et si in pectore dolor aliquis prius extiterit, magis dolent ægri. Austrinæ autem corpora exolvunt, et humectant, auditum obtundunt, caput gravant, vertigines oculis movent, corporibus difficilem motionem inducunt, et alvos humectant.

18. Per anni tempora autem, vere quidem et prima æstate pueri, et qui ætate his proximi sunt, optime degunt, et maxime valent: æstate vero, et quadantenus autumno senes; reliqua vero parte autumni, et hyeme, qui media sunt ætate.

19. Morbi quidem omnis generis in quibusvis anni temporibus oriuntur, nonnulli tamen quibusdam temporibus magis fiunt, et exacerbantur.

20. Namque vere maniæ, melancholiæ, epilepsiæ, sanguinis profusiones, anginæ, gravedines, raucitates, tusses, lepræ,

καὶ βῆχες, καὶ λέπραι, ἢ λειχῆνες, ἢ ἀλφοὶ, καὶ ἐξανθήσεες ἑλκώδεες πλεῖσαι, καὶ φύματα, καὶ ἀρθριτικά.

κα. Τοῦ δὲ θέρεος ἔνιά τε τουτέων, καὶ πυρετοὶ ξυνεχέες, καὶ καῦσοι, καὶ τριταῖοι πλεῖσοι, ἢ ἔμετοι, ἢ διάῤῥοιαι, ἢ ὀφθαλμίαι, καὶ ὤτων πόνοι, καὶ σομάτων ἑλκώσεες, καὶ σηπεδόνες αἰδοίων, καὶ ἱδρωα.

κβ. Τοῦ δὲ φθινοπώρου, καὶ τῶν θερινῶν τὰ πολλὰ, καὶ πυρετοὶ τέλαρταῖοι, ἢ πλανῆτες, καὶ σπλῆνες, καὶ ὕδρωπες, καὶ φθίσεες, καὶ σραγγερίαι, καὶ λειεντερίαι, καὶ δυσεντερίαι, ἢ ἰσχιάδες, καὶ κυνάγχαι, καὶ ἄσθματα, καὶ εἰλεοὶ, ἢ ἐπιληψίαι, καὶ τὰ μανικὰ, καὶ τὰ μελαγχολικά.

κγ. Τοῦ δὲ χειμῶνος πλευρίτιδες, περιπνευμονίαι, κόρυζαι, βράγχοι, βῆχες, πόνοι σηθέων, ἢ πλευρέων, ἢ ὀσφύος, καὶ κεφαλαλγίαι, ἴλιγγοι, ἢ ἀποπληξίαι.

impetigines, vitiligines, et pustulæ ulcerosæ plurimæ, et tubercula, et articulorum dolores.

21. Æsrate autem horum nonnulli, ac febres continuæ, er ardentes, et tertianæ plurimæ: vomitiones etiam, et alvi profluvia, ophthalmiæ, aurium dolores, oris exulcerationes, genitalium putredines, et sudamina.

22. Autumno vero æstivorum plurimi, atque etiam quartanæ febres et erraticæ, lienes, hydropes, tabes, urinæ stillicidia, lienteriæ, et dysenteriæ, coxendicum dolores, anginæ, asthmata, volvuli, comitiales, furores, et melancholiæ.

23. Hyeme vero pleuritides, peripneumoniæ, gravedines, raucitates, tusses, dolores pectorum, laterum, lumborum, et capitis: vertigines, & apoplexiæ.

κδ. Ἐν δὲ τῇσι ἡλικίῃσι τοιάδε ξυμβαίνει· τοῖσι μὲν σμικροῖσι καὶ νεογνοῖσι παιδίοισιν, ἄφθαι, ἔμετοι, βῆχες, ἀγρυπνίαι, φόβοι, ὀμφαλοῦ φλεγμοναὶ, ὤτων ὑγρότητες.

κε. Πρὸς δὲ τὸ ὀδοντοφυέειν προσάγουσιν, οὔλων ὀδαξισμοὶ, πυρετοὶ, σπασμοὶ, διάῤῥοιαι, καὶ μάλιστα ὅταν ἀνάγωσι τοὺς κυνόδοντας, καὶ τοῖσι παχυτάτοισι τῶν παιδίων, καὶ τοῖσι σκληρὰς τὰς κοιλίας ἔχουσι.

κϛ. Πρεσβυτέροισι δὲ γενομένοισι, παρίσθμια, σπονδύλου τοῦ κατὰ τὸ ἰνίον ἔσω ὤσιες· ἄσθματα, λιθιάσιες, ἕλμινθες στρογγύλαι, ἀσκαρίδες, ἀκροχορδόνες, σατυριασμοὶ, χοιράδες, καὶ τἄλλα φύματα.

κζ. Τοῖσι δὲ ἔτι πρεσβυτέροισι, καὶ πρὸς τὴν ἥβην προσάγουσι, τουτέων τε τὰ πολλὰ, καὶ πυρετοὶ χρόνιοι μᾶλλον, καὶ ἐκ ῥινῶν αἵματος ῥύσιες.

24. Per ætates autem hæc eveniunt: parvis et recens natis puerulis, oris ulcera, vomitiones, tusses, vigiliæ, pavores, umbilici inflammationes, aurium humiditates.

25. Ad dentitionem vero progredientibus, gingivarum stimulantes prurigines, febres, convulsiones, alvi profluvia, maxime cum caninos dentes emittunt, et pueris crassissimis, et iis qui alvos habent adstrictas.

26. Adultioribus jam, tonsillarum inflammationes, vertebræ quæ ad occipitium est interiorem in partem impulsiones, asthmata, calculi, lumbrici rotundi, ascarides, verrucæ pensiles, satyriasmi, strumæ, et alia tubercula.

27. Adhuc autem ætate provectioribus, et ad pubertatem progressis, ex iis multa, et etiam febres diuturnæ magis, et sanguinis ex naribus profluvia.

κη. Τὰ δὲ πλεῖστα τοῖσι παιδίοισι πάθεα κρίνεται, τὰ μὲν ἐν τεσσαράκοντα ἡμέρησι, τὰ δὲ ἐν ἑπτὰ μησὶ, τὰ δὲ ἐν ἑπτὰ ἔτεσι, τὰ δὲ πρὸς τὴν ἥβην προσάγουσι. ὅσα δὲ ἂν διαμείνῃ τοῖσι παιδίοισι, καὶ μὴ ἀπολυθῇ περὶ τὸ ἡβάσκειν, ἢ τῇσι θήλεσι περὶ τὰς τῶν καταμηνίων ῥήξιας, χρονίζειν εἴωθε.

κθ. Τοῖσι δὲ νεηνίσκοισι αἵματος πτύσιες, φθίσιες, πυρετοὶ ὀξέες, ἐπιληψίαι, καὶ τἄλλα νουσήματα, μάλιστα δὲ τὰ προειρημένα.

λ. Τοῖσι δὲ ὑπὲρ τὴν ἡλικίην ταύτην ἄσθματα, πλευρίτιδες, περιπνευμονίαι, λήθαργοι, φρενίτιδες, καῦσοι, διάῤῥοιαι χρόνιαι, χολέραι, δυσεντερίαι, λειεντερίαι, αἱμοῤῥοΐδες.

λα. Τοῖσι δὲ πρεσβύτησι δύσπνοιαι, κατάῤῥοοι βηχώδεες, στραγγουρίαι, δυσουρίαι, ἄρθρων πόνοι, νεφρίτιδες, ἴλιγγοι, ἀποπληξίαι, καχεξίαι,


28. Plurimi autem morbi pueris judicantur, partim quidem intra quadraginta dies, partim vero intra septem menses, nonnulli intra annos septem, quidam etiam ad pubertatem progressis. Qui vero pueris perseverarint, neque circa pubertatem soluti fuerint, aut fœminis circa mensium eruptionem, consenescere consueverunt.

29. Juvenibus autem sanguinis spuitiones, tabes, febres acutæ, comitiales, aliique morbi, præcipue tamen prædicti.

30. His vero qui hanc ætatem superarunt, asthmata, pleuritides, peripneumoniæ, lethargi, phrenitides, febres ardentes, diuturna alvi profluvia, choleræ, dysenteriæ, lienteriæ, hæmorrhoides.

31. At senibus spirandi difficultates, destillationes tussim inferentes, stranguriæ, dysuriæ, articulorum dolores, renum vitia, vertigines, apoplexiæ, cachexiæ,

ξυσμοὶ τοῦ σώματος ὅλου, ἀγρυπνίαι, κοιλίης, ὀφθαλμῶν καὶ ῥινῶν ὑγρότητες, ἀμβλυωπίαι, γλαυκώσεες, καὶ βαρυηκοΐαι.



totius corporis pruritus, vigiliæ, alvi, oculorum et narium humiditates, visus hebetudines, glaucedines, auditus graves.



ΤΜΗΜΑ ΤΕΤΑΡΤΟΝ.

Α.

Τας κυέσας φαρμακεύειν, ἢν ὀργᾷ, τετράμηνα, καὶ ἄχρι ἑπτὰ μηνῶν· ἧσσον δὲ ταύτας. τὰ δὲ νήπια καὶ πρεσβύτερα εὐλαβέεσθαι.

β. Εν τῇσι φαρμακίῃσι τοιαῦτα ἄγειν ἐκ τῦ σώματος, ὁκοῖα ϗ αὐτόματα ἰόντα χρήσιμα· τὰ δὲ ἐναντίως ἰόντα, παύειν.

γ. Ην μὲν οἷα δεῖ καθαίρεσθαι, καθαίρηται, ξυμφέρει τε ϗ εὐφόρως φέρυσι. τὰ δὲ ἐναντία, δυσχερῶς.

δ. Φαρμακεύειν θέρεος μὲν μᾶλλον τὰς ἄνω, χειμῶνος δὲ τὰς κάτω.

ε. Υπὸ κύνα, καὶ πρὸ κυνὸς, ἐργώδεες αἱ φαρμακίαι.

ϛ. Τὺς ἰσχνὺς ϗ εὐημέας ἄνω φαρμακεύειν, ὑποστελλομένυς χειμῶνα.

SECTIO QUARTA.

I.

UTERO gerentes purgabis, si materia turgeat, quatto mense, et ad septimum usque, has tamen minus. A minoribus autem et grandioribus fœtibus cavebis.

2. In purgantium usu, qualia et sponte prodeuntia utilia sunt, talia e corpore educenda; quæ vero contrario modo prodeunt, cohibenda.

3. Si quæ purgari decet, purgentur, confert et facile ferunt: contra vero, difficile.

4. Æstate quidem superiores ventres potius purgato, hyeme vero inferiores.

5. Sub cane, et ante canem, molestæ sunt purgationes.

6. Graciles et ad vomitum faciles, sursum purgabis, vitantes hyemem.

ζ. Τοὺς δὲ δυσημέας ἢ μέσως εὐσάρκους, κάτω, ὑποστελλομένους θέρος.

η. Τοὺς δὲ φθινώδεας, ὑποστελλομένους τὰς ἄνω.

θ. Τοὺς δὲ μελαγχολικοὺς ἁδροτέρως τὰς κάτω, τῷ ὑτέῳ λογισμῷ τἀναντία προστιθείς.

ι. Φαρμακεύειν ἐν τοῖσι λίην ὀξέσιν, ἢν ὀργᾷ, αὐθημερόν· χρονίζειν γὰρ ἐν τοῖσι τοιουτέοισι κακόν.

ια. Οκόσοισι στρόφοι, ἢ περὶ τὸν ὀμφαλὸν πόνοι, ἢ ὀσφύος ἄλγημα μὴ λυόμενον, μήτε ὑπὸ φαρμακίης, μήτε ἄλλως, ἐς ὕδρωπα ξηρὸν ἱδρύεται.

ιβ. Οκόσοισι κοιλίαι λειεντεριώδεες, χειμῶνος φαρμακεύειν ἄνω, κακόν.

ιγ. Πρὸς τοὺς ἐλλεβόρους τοῖσι μὴ ῥηϊδίως ἄνω καθαιρομένοισι, πρὸ τῆς πόσεος, προϋγραίνειν τὰ σώματα πλέονι τροφῇ καὶ ἀναπαύσει.

ιδ. Επὴν πίῃ τις ἐλλέβορον, πρὸς μὲν τὰς κινήσιας τῶν σωμάτων μᾶλλον ἄγειν, πρὸς

7. At qui difficiles sunt ad vomendum, et mediocriter carnosi, deorsum, æstatem vitantes.

8. Tabescentes vero, cave ne sursum purges.

9. At vero melancholicos largius deorsum, simili ratione contraria adhibens.

10. In valde acutis, si materia turget, die eodem purgandum; morari enim in talibus, malum.

11. Quibus tormina, et circa umbilicum labores, atque lumborum dolor, qui neque medicamento purgante, neque aliter solvitur, in siccum hydropem firmatur.

12. Quorum alvi lienteria infestantur, eos hyberno tempore sursum purgare, malum.

13. Qui veratro sumpto non facile sursum purgantur, iis, ante potionem, corpora copiosiore cibo, et quiete præhumectato.

14. Ubi quis veratrum biberit, ad corporum motiones magis, ad somnos vero et

δὲ τοὺς ὕπνους καὶ τὰς ἀκινήσιας ἧσσον. δηλοῖ δὲ καὶ ἡ ναυτιλίη ὅτι κίνησις τὰ σώματα ταράσσει.

ιε. Επεὰν βούλῃ μᾶλλον ἄγειν τὸν ἐλλέβορον, κίνει τὸ σῶμα· ἐπεὰν δὲ παῦσαι, ὕπνον ποίει, καὶ μὴ κίνει.

ιϛ. Ελλέβορος ἐπικίνδυνος τοῖσι τὰς σάρκας ὑγιέας ἔχουσι· σπασμοὺς γὰρ ἐμποιέει.

ιζ. Απυρέτῳ ἐόντι, ἀποσιτίη, καὶ καρδιωγμὸς, καὶ σκοτόδινος, καὶ στόμα ἐκπικρούμενον, ἄνω φαρμακίης δέεσθαι σημαίνει.

ιη. Τὰ ὑπὲρ τῶν φρενῶν ὀδυνήματα, ἄνω φαρμακίην σημαίνει· ὁκόσα δὲ κάτω, κάτω.

ιθ. Οκόσοι ἐν τῇσι φαρμακοποσίῃσι μὴ διψῶσι καθαιρόμενοι, οὐ παύονται πρὶν ἢ διψήσωσι.

κ. Απυρέτοισιν ἐοῦσιν, ἢν γένηται στρόφος, καὶ γονάτων βάρος, καὶ ὀσφύος ἄλγημα, κάτω φαρμακίης δέεσθαι σημαίνει.

quietem minus ducito. Nam vel navigatio turbari motione corpora indicat.

15. Ubi veratrum ut magis ducat volueris, corpus moveto; ubi vero sistendum censueris, somnum conciliato, neque moveto.

16. Veratrum iis qui sano sunt corpore periculosum, convulsiones enim inducit.

17. Si cui sine febre, cibi fastidium, oris ventriculi morsus, tenebricosa vertigo contigerit, et os amarulentum fuerit, hæc necessariam esse per superiora purgationem indicant.

18. Dolores supra septum transversum, purgationem sursum, qui vero infra, deorsum requirunt.

19. Qui in medicamentorum potionibus, cum purgantur non sitiunt, ii non desinunt priusquam sitiverint.

20. Si tormina adfuerint, non febricitanti, et genuum gravitas, et lumborum dolor, deorsum purgatione opus esse significant.

κα. Ὑποχωρήματα μέλανα, ὁκοῖον αἷμα μέλαν, ἀπ᾽ αὐτομάτου ἰόντα, καὶ ξὺν πυρετῷ, καὶ ἄνευ πυρετοῦ, κάκιστα· καὶ ὁκόσῳ ἂν τὰ χρώματα τῶν ὑποχωρημάτων πλέω πονηρότερα ἔῃ, μᾶλλον κάκιον. ξὺν φαρμάκῳ δὲ, ἄμεινον, καὶ ὁκόσῳ ἂν χρώματα πλέω ἔῃ, οὐ πονηρά.

κβ. Νουσημάτων ὁκόσων ἀρχομένων, ἢν χολὴ μέλαινα ἢ ἄνω, ἢ κάτω ἐπέλθῃ, θανάσιμον.

κγ. Ὁκόσοισιν ἐκ νουσημάτων ὀξέων, ἢ πολυχρονίων, ἢ ἐκ τρωμάτων, ἢ ἄλλως λεπτυνομένοισι χολὴ μέλαινα ὁκοῖον αἷμα μέλαν ὑπέλθῃ, τῇ ὑστεραίῃ ἀποθνήσκουσι.

κδ. Δυσεντερίη, ἢν ἀπὸ χολῆς μελαίνης ἄρξηται, θανάσιμον.

κε. Αἷμα ἄνω μὲν ὁκοῖον ἂν ἔῃ, κακόν· κάτω δὲ, ἀγαθόν.

κϛ. Ἢν ὑπὸ δυσεντερίης ἐχομένῳ αἱ σάρκες ὑποχωρήσωσιν, ἢ τὰ μέλανα διαχωρήματα, θανάσιμον.

κζ. Ὁκόσοισιν ἐν τοῖσι πυρετοῖσι αἱμοῤῥαγίαι

21. Nigræ dejectiones, qualis sanguis niger, sponte prodeuntes, et cum febre, et citra febrem, pessimæ, et quo plures colores dejectionum pravi fuerint eo pejus. A medicamento autem melius, et, quanto plures colores fuerint, non pravi.

22. Quocumque morbo incipiente, bilem atram supra vel infra prodire, lethale.

23. Quibuscumque ex morbis acutis, aut diuturnis, aut a vulneribus, aut alio quovis modo extenuatis, bilis atra sanguini atro similis subierit, ii postridie moriuntur.

24. Dysenteria, si ab atra bile ortum duxerit, lethalis.

25. Sanguis, supra quidem, qualiscumque fuerit emissus, malus, infra autem bonus.

26. Dysenteria vexato, si carunculæ dejiciantur, aut dejectiones nigræ, lethale.

27. Quibus per febres sanguinis copia

πλῆθος ὁκοθενῦν, ἐν τῇσιν ἀναλήψεσι, τελέωσι αἱ κοιλίαι καθυγραίνονται.

κη. Ὁκόσοισι χολώδεα τὰ διαχωρήματα, κωφώσεος ἐπιγενομένης παύεται· καὶ ὁκόσοισι κώφωσις, χολωδέων ἐπιγενομένων διαχωρημάτων, παύεται.

κθ. Ὁκόσοισιν ἐν τοῖσι πυρετοῖσι ἑκταίοισιν ἐοῦσι ῥίγεα γίνεται, δύσκριτα.

λ. Ὁκόσοισι παροξυσμοὶ γίνονται, ἣν, ἂν ὥρην ἀφῇ ὁ πυρετὸς, ἐς τὴν αὔριον τὴν αὐτέην ὥρην ἣν λάβῃ, δύσκριτα.

λα. Τοῖσι κοπώδεσιν ἐν τοῖσι πυρετοῖσιν ἐς ἄρθρα, καὶ παρὰ τὰς γνάθους μάλιστα, αἱ ἀποστάσιες γίνονται.

λβ. Ὁκόσοισι δὲ ἀνισταμένοισιν ἐκ τῶν νούσων τί πονέει, ἐνταῦθα αἱ ἀποστάσιες γίνονται.

λγ. Ατὰρ ἣν καὶ προπεπονηκός τι ἔῃ πρὸ τοῦ νοσέειν, ἐνταῦθα στηρίζει ἡ νοῦσος.

λδ. Ην ὑπὸ πυρετοῦ ἐχομένῳ, οἰδήματος μὴ ἐόντος ἐν τῇ φάρυγγι, πνὶξ ἐξαίφνης ἐπιστῇ, θανάσιμον.

alicunde

alicunde profluxerit, iis cum reficiuntur alvi pethumectantur.

28. Quibus biliosæ sunt dejectiones, hæ oborta surditate cessant, et quibus præcesserit surditas, exortis biliosis dejectionibus, desinit.

29. Quibus per febres rigores contingunt sexto die, difficulter judicantur.

30. Quibus paroxysmi fiunt, quanamcumque hora febris dimiserit, si hora eadem postero die etiam prehenderit, judicatio difficilis est.

31. Quibus per febres lassitudinis sensus inest, iis ad articulos, et circa maxillas potissimum, abscessus decumbunt.

32. Quibus vero convalescentibus ex quovis morbo, pars aliqua labore vexatur, illic abscessus fiunt.

33. Quin et si pars quæpiam ante morbum laboraverit, in eam se morbus obfirmat.

34. Si febre vexato, nullo existente in faucibus tumore, subito accidat strangulatio, lethale.

λε. Ην ὑπὸ πυρετοῦ ἐχομένῳ ὁ τράχηλος ἐπιςραφῇ, καὶ μόγις καταπίνειν δύνηται, οἰδήματος μὴ ἐόντος, θανάσιμον.

λς. Ἱδρῶτες πυρεταίνουσιν ἢν ἄρξωνται, ἀγαθοὶ τριταῖοι, καὶ πεμπταῖοι, καὶ ἑβδομαῖοι, καὶ ἐνναταῖοι, καὶ ἑνδεκαταῖοι, καὶ τεσσαρεσκαιδεκαταῖοι, καὶ ἑπτακαιδεκαταῖοι, καὶ μιῇ καὶ εἰκοςῇ, καὶ ἑβδόμῃ καὶ εἰκοςῇ, καὶ τριηκοςῇ πρώτῃ, καὶ τριηκοστῇ τετάρτῃ· οὗτοι γὰρ οἱ ἱδρῶτες νόσους κρίνουσι. οἱ δὲ μὴ οὕτω γινόμενοι, θάνατον σημαίνουσι, καὶ πόνους, καὶ μῆκος νόσου, καὶ ὑποτροπιασμούς.

λζ. Οἱ ψυχροὶ ἱδρῶτες ξὺν μὲν ὀξεῖ πυρετῷ γινόμενοι, θάνατον· ξὺν πρηϋτέρῳ δὲ, μῆκος νόσου σημαίνουσι.

λη. Οκου ἔνι τοῦ σώματος ἱδρὼς, ἐνταῦθα φράζει τὴν νοῦσον.

λθ. Καὶ ὅκου ἔνι τοῦ σώματος θερμὸν ἢ ψυχρὸν, ἐνταῦθα ἡ νοῦσος.

μ. Οκου ἐν ὅλῳ τῷ σώματι μεταβολαὶ, καὶ ἢν τὸ σῶμα ψύχηται, ἢ αὖτις θερμαίνηται,

35. Si febricitanti collum pervertitur, ac vix deglutire possit, nullo existente tumore, lethale.

36. Sudores febricitantibus boni, qui cœperint tertio die, quinto, septimo, nono, undecimo, decimo-quarto, decimo-septimo, vigesimo-primo, vigesimo-septimo, trigesimo-primo, et trigesimo-quarto, ii enim sudores morbos judicant. Qui vero aliter contingunt, vel mortem, vel dolores, vel morbi longitudinem, vel recidivas significant.

37. Sudores frigidi cum febre quidem acuta aborti, mortem; cum mitiori autem, morbi longitudinem significant.

38. Qua parte corporis sudor inest, ibi morbum esse significatur.

39. Et qua corporis parte calor inest aut frigus, ibi morbus est.

40. Ubi toto corpore mutationes contingunt, et corpus frigescit, rursumque

ἢ χρῶμα ἕτερον ἐξ ἑτέρου δέχηται, μῆκος νούσου σημαίνει.

μα. Ἱδρὼς πουλὺς ἐξ ὕπνου ἄνευ τινὸς αἰτίης φανερῆς γινόμενος, τὸ σῶμα σημαίνει ὅτι πλέονι τροφῇ χρέεται. ἢν δὲ τροφὴν μὴ λαμβάνοντι τοῦτο γίνηται, σημαίνει ὅτι κενώσεος δέεται.

μβ. Ἱδρὼς πουλὺς, ψυχρὸς ἢ θερμὸς αἰεὶ ῥέων· ὁ ψυχρὸς μέζω, ὁ δὲ θερμὸς ἐλάσσω νοῦσον σημαίνει.

μγ. Οἱ πυρετοὶ ὁκόσοι μὴ διαλείποντες διὰ τρίτης ἰσχυρότεροι γίνονται, ἐπικίνδυνοι· ὅτεῳ δὲ ἂν τρόπῳ διαλείπωσι, σημαίνει ὅτι ἀκίνδυνοι.

μδ. Ὁκόσοισι πυρετοὶ μακροὶ, τουτέοισιν ἢ φύματα, ἢ ἐς τὰ ἄρθρα πόνοι ἐγγίνονται.

με. Ὁκόσοισιν ἢ φύματα, ἢ ἐς τὰ ἄρθρα πονοὶ ἐκ πυρετῶν μακρῶν γίνονται, οὗτοι σιτίοισι πλέοσι χρέονται.

μϛ. Ἢν ῥῖγος ἐμπίπτῃ, πυρετῷ μὴ διαλείποντι, ἤδη ἀσθενεῖ ἐόντι, θανάσιμον.

calefit, vel colorem alium ab alio recipit, morbi longitudo significatur.

41. Sudor copiosus per somnum citra manifestam causam obortus, corpus copiosiore uti cibo significat. Quod si ægroto cibum non assumenti istud contingat, quod evacuatione opus sit indicat.

42. Sudor copiosus, modo calidus, modo frigidus assidue fluens, frigidus majorem, calidus minorem morbum significat.

43. Febres quæcumque non intermittentes tertio die vehementiores redduntur, periculosiores. Quocumque autem modo intermiserint, securitatem inesse significatur.

44. Quibus adsunt febres longæ, iis vel abscessus, vel dolores ad articulos oriuntur.

45. Quibus aut abscessus, aut ad articulos dolores post febres longas oriuntur, ii copiosioribus cibis utuntur.

46. Si rigor, febre non intermittente, incidat, ægro jam debili, lethale est.

μζ. Αἱ ἀποχρέμψεες ἐν τοῖσι πυρετοῖσι τοῖσι μὴ διαλείπουσι αἱ πελιδναὶ, καὶ αἱματώδεες, καὶ δυσώδεες, καὶ χολώδεες, ἅπασαι κακαί· ἀποχωρεῦσαι δὲ καλῶς, ἀγαθαί· οὕτω καὶ κατὰ τὰς διαχωρήσιας, καὶ κατὰ τὰ οὖρα. ἢν δὲ μή τι τῶν ξυμφερόντων ἐκκρίνηται διὰ τῶν τόπων τούτων, κακόν.

μη. Εν τοῖσι μὴ διαλείπουσι πυρετοῖσιν, ἢν τὰ μὲν ἔξω ψυχρὰ ἔῃ, τὰ δὲ ἔνδον καίηται καὶ δίψην ἔχῃ, θανάσιμον.

μθ. Εν μὴ διαλείποντι πυρετῷ, ἢν χεῖλος, ἢ ὀφρὺς, ἢ ὀφθαλμὸς, ἢ ῥὶς διαστραφῇ, ἢν μὴ βλέπῃ, ἢν μὴ ἀκούῃ, ἤδη ἐόντος ἀσθενέος, ὅ, τι ἂν τουτέων γένηται, ἐγγὺς ὁ θάνατος.

ν. Οκου ἂν ἐν τῷ πυρετῷ μὴ διαλείποντι δύσπνοια γίνηται καὶ παραφροσύνη, θανάσιμον.

να. Εν τοῖσι πυρετοῖσιν ἀποστήματα, μὴ λυόμενα πρὸς τὰς πρώτας κρίσεας, μῆκος νόσου σημαίνει.

47. In febribus non intermittentibus excreationes lividæ, aut cruentæ, aut graveolentes, aut biliosæ, omnes malæ; bene autem si prodeant, bonæ: eadem etiam ratione dejectiones et urinæ juvant. At si nihil eorum quæ juvant per hæc loca exnatur, malum.

48. In febribus non intermittentibus, si partes externæ sint frigidæ, internæ vero urantur et siti vexentur, lethale est.

49. In febre non intermittente, si labrum, aut supercilium, aut oculus, aut nasus pervertatur, si visus, si auditus defecerit, ægro jam debili, quicquid ex his evenerit, in propinquo mors est.

50. Ubi in febre non intermittente difficultas spirandi cum delirio contingit, lethale.

51. In febribus abscessus, nisi primis judicationibus solvantur, morbi longitudinem significant.

νβ. Οκόσοισιν ἐν τοῖσι πυρετοῖσιν, ἢ ἐν τῇσιν ἄλλῃσιν ἀῤῥωςίῃσι κατὰ προαίρεσιν οἱ ὀφθαλμοὶ δακρύουσιν, οὐδὲν ἄτοπον. ὁκόσοισι δὲ μὴ κατὰ προαίρεσιν, ἀτοπώτερον.

νγ. Οκόσοισι ἐπὶ τῶν ὀδόντων ἐν τοῖσι πυρετοῖσι περίγλισχρα γίνεται, ἰσχυρότεροι γίνονται αὐτέων οἱ πυρετοί.

νδ. Οκόσοισι βῆχες ξηραὶ, πολλαὶ, καὶ βραχέαι, ἐρεθίζονται ἐν πυρετοῖσι καυσώδεσιν, οὐ πάνυ τοι διψώδεες εἰσί.

νε. Οἱ ἐπὶ βουβῶσι πυρετοὶ, πάντες κακοὶ, πλὴν τῶν ἐφημέρων.

νϛ. Πυρέσσοντι ἱδρὼς ἐπιγενόμενος, μὴ ἐκλείποντος τοῦ πυρετοῦ, κακόν. μηκύνει γὰρ ἡ νοῦσος, καὶ ὑγρασίην πλέω σημαίνει.

νζ. Υπὸ σπασμοῦ ἢ τετάνου ἐχομένῳ πυρετὸς ἐπιγενόμενος, λύει τὸ νόσημα.

νη. Υπὸ καύσου ἐχομένῳ, ῥίγεος ἐπιγενομένου, λύσις.

52. Quibus in febribus, aut aliis morbis, oculi ex voluntate illacrymant, nullum est malum. At quibus præter voluntatem, periculosius est.

53. Quibus, per febres, ad dentes viscosa circumnascuntur, iis vehementiores fiunt febres.

54. Quibus tusses siccæ, plurimæ, et modicæ, irritantur, in febribus ardentibus, ii non multum siti vexantur.

55. Ex bubonibus febres omnes malæ, præter diarias.

56. Febricitanti si sudor contingat, febre non deficiente, malum. Protogatur enim morbus, et multam significat humiditatem.

57. Convulsione, aut distentione nervorum, detento, febris si succedat, morbum solvit.

58. Febre ardente detento, rigore superveniente, solutio fit.

νθ. Τριταῖος ἀκριβὴς κρίνεται ἐν ἑπτὰ περιόδοισι, τὸ μακρότατον.

ξ. Οκόσοισιν ἂν ἐν τοῖσι πυρετοῖσι τὰ ὦτα κωφωθῇ, αἷμα ἐκ ῥινῶν ῥυὲν, ἢ κοιλίη ἐκταραχθεῖσα, λύει τὸ νόσημα.

ξα. Πυρέσσοντι ἢν μὴ ἐν περισσῇ ἡμέρῃ ἀφῇ ὁ πυρετὸς, ὑποστροφιάζειν εἴωθε.

ξβ. Οκόσοισιν ἐν τοῖσι πυρετοῖσιν ἴκτεροι ἐπιγίνονται πρὸ τῶν ἑπτὰ ἡμερέων, κακόν.

ξγ. Οκόσοισιν ἐν τοῖσι πυρετοῖσι καθ' ἡμέρην ῥίγεα γίνεται, καθ' ἡμέρην οἱ πυρετοὶ λύονται.

ξδ. Οκόσοισιν ἐν τοῖσι πυρετοῖσι, τῇ ἑβδόμῃ, ἢ τῇ ἐννάτῃ, ἢ τῇ ἑνδεκάτῃ, ἢ τῇ τεσσαρεσκαιδεκάτῃ, ἴκτεροι ἐπιγίνονται, ἀγαθὸν, ἢν μὴ τὸ ὑποχόνδριον τὸ δεξιὸν σκληρὸν ἔῃ· ἢν δὲ μὴ, οὐκ ἀγαθόν.

ξε. Εν τοῖσι πυρετοῖσι τοῖσιν ὀξέσι περὶ τὴν κοιλίην καῦμα ἰσχυρὸν, καὶ καρδιωγμὸς, κακόν.

59. Tertiana exquisita septem circuitibus, ut longissime, judicatur.

60. Quibus per febres aures obsurduerunt, sanguis ex naribus profluens, aut alvus exturbata, morbum solvit.

61. Febricitantem, nisi die critico febris dimiserit, reverti solet.

62. Quibus per febres morbus regius ante diem septimum accidit, malum.

63. Quibus per febres quotidie rigores fiunt, quotidie febres solvuntur.

64. Quibus per febres, die septimo, aut nono, aut undecimo, aut decimo-quarto, morbus regius supervenerit, bonum, nisi hypochondrium dextrum obduruerit : alioqui, non bene est.

65. In febribus acutis circa ventriculum æstus vehemens, et oris ventriculi morsus, malum.

ξϛ. Ἐν τοῖσι πυρετοῖσι τοῖσιν ὀξέσι οἱ σπασμοὶ, καὶ οἱ περὶ τὰ σπλάγχνα πόνοι ἰσχυροὶ, κακόν.

ξζ. Ἐν τοῖσι πυρετοῖσι οἱ ἐκ τῶν ὕπνων φόβοι, ἢ σπασμοὶ, κακόν.

ξη. Ἐν τοῖσι πυρετοῖσι τὸ πνεῦμα προσκόπτον, κακόν· σπασμὸν γὰρ σημαίνει.

ξθ. Ὁκόσοισιν οὖρα παχέα, θρομβώδεα, ὀλίγα, οὐκ ἀπυρέτοισι, πλῆθος, ἐπελθὸν ἐκ τούτων, λεπτῶν, ὠφελέει· μάλιστα δὲ τὰ τοιαῦτα ἔρχεται, οἷσιν ἐξ ἀρχῆς, ἢ διὰ ταχέων ὑπόστασιν ἴσχει.

ο. Ὁκόσοισι δὲ ἐν πυρετοῖσι τὰ οὖρα ἀνατεταραγμένα, οἷον ὑποζυγίου, τουτέοισι κεφαλαλγίαι πάρεισιν, ἢ παρέσονται.

οα. Ὁκόσοισι ἑβδομαῖα κρίνεται, τουτέοισιν ἐπινέφελον ἴσχει τὸ οὖρον, τῇ τετάρτῃ, ἐρυθρὸν, καὶ τὰ ἄλλα κατὰ λόγον.

66. In febribus acutis convulsiones, et circa viscera dolores vehementes, malum.

67. In febribus a somno pavores, aut convulsiones, malo sunt.

68. In febribus spiratio offensans, malo est, convulsionem enim significat.

69. Quibus non sine febre urinæ sunt crassæ, grumosæ et paucæ, si ab iis tenues copiose prodierint, juvant: præcipue vero tales exeunt iis quibus ab initio, vel non multo post, urina sedimentum obtinet.

70. Quibus vero per febres urinæ sunt turbulentæ, quales jumentorum, iis capitis dolores adsunt, vel aderunt.

71. Quibus septimo die judicatur morbus, iis urina rubram die quarto nubeculam habet, aliaque signa pro ratione.

οβ. Οκόσοισιν ἔρα διαφανέα, λευκὰ, πονηρά· μάλιςα δὲ ἐν τοῖσι φρενιτικοῖσιν ἐπιφαίνεται.

ογ. Οκόσοισι ὑποχόνδρια μετέωρα διαβορβορίζοντα, ὀσφύος ἀλγήματος ἐπιγενομένε, αἱ κοιλίαι τυτέοισι καθυγραίνονται, ἢν μὴ φῦσαι καταῤῥαγέωσιν, ἢ ἔρε πλῆθος ἐπέλθῃ. ἐν πυρετοῖσι δὲ ταῦτα.

οδ. Οκόσοισιν ἐλπὶς ἐς ἄρθρα ἀφίςασθαι, ῥύεται τῆς ἀποςάσεος ἔρον πολὺ, καὶ παχὺ, καὶ λευκὸν γινόμενον, οἷον ἐν τοῖσι κοπώδεσι πυρέτοισι τεταρταίοισιν ἄρχεται ἐνίοισι γίνεσθαι. ἢν δὲ καὶ ἐκ τῶν ῥινῶν αἱμοῤῥαγήσῃ, καὶ πάνυ ταχὺ λύεται.

οε. Ην αἷμα ἢ πῦον ἐρέῃ, τῶν νεφρῶν, ἢ τῆς κύςεος ἕλκωσιν σημαίνει.

ος. Οκόσοισιν ἐν τῷ ἔρῳ παχεῖ ἐόντι σαρκία σμικρὰ, ἢ ὥσπερ τρίχες ξυνεξέρχονται, ταῦτα ἀπὸ τῶν νεφρῶν ἐκκρίνεται.

72. Quibus urinæ pellucidæ, albæ, malæ: præcipue vero in phreneticis apparent.

73. Quibus sublata hypocondria murmurant, lumborum succedente dolore, iis alvi admodum humectantur, nisi flatus erumpant, aut urinæ copia prodeat. Hæc vero in febribus contingunt.

74. Quibus spes est ad articulos abscessurum, ab abscessu liberat urina copiosa, valde crassa, et alba reddita, qualis in febribus cum lassitudinis sensu quarto die quibusdam ferri incipit. Quod si ex naribus etiam sanguis effluxerit, tum brevi admodum levatur æger.

75. Si quis sanguinem aut pus mingat, renum aut vesicæ exulceratio significatur.

76. Quibus cum urina crassa exiguæ carunculæ, aut veluti capilli una exeunt, iis a renibus excernuntur.

οζ. Ὁκόσοισιν ἐν τῷ οὔρῳ παχέϊ ἐόντι πιτυρώδεα ξυνεξουρέεται, τουτέοισι ἡ κύστις ψωριᾷ.

οη. Ὁκόσοι ἀπὸ ταὐτομάτου αἷμα οὐρέουσι, τουτέοισιν ἀπὸ τῶν νεφρῶν φλεβὸς ῥῆξιν σημαίνει.

οθ. Ὁκόσοισιν ἐν τῷ οὔρῳ ψαμμώδεα ὑφίσταται, τουτέοισι ἡ κύστις λιθιᾷ, ἢ νεφροί.

π. Ην αἷμα οὐρέῃ καὶ θρόμβους, καὶ στραγγουρίην ἔχῃ, καὶ ὀδύνη ἐμπίπτῃ ἐς τὸ ὑπογάστριον καὶ ἐς τὸν κτένα, καὶ ἐς τὸ περίναιον, τὰ περὶ τὴν κύστιν πονέει.

πα. Ην αἷμα, καὶ πῦον οὐρέῃ, καὶ λεπίδας, καὶ ὀσμὴ βαρέη ἔῃ, τῆς κύστεος ἕλκωσιν σημαίνει.

πβ. Ὁκόσοισιν ἐν τῇ οὐρήθρῃ φύματα φύεται, τουτέοισι, διαπυήσαντος καὶ ἐκραγέντος, λύσις.

πγ. Οὔρησις νύκτωρ πολλὴ γινομένη, σμικρὴν τὴν ὑποχώρησιν σημαίνει.



77. Quibus cum urina crassa, furfuracea quædam exeunt, iis vesica scabie laborat.

78. Quicunque repente sanguinem mingunt, iis in renibus venulam ruptam esse significat.

79. Quibus in urina subsident arenosa, iis vesica calculo laborat, vel renes.

80. Si quis sanguinem mingat et grumos, et stranguriam habeat, dolorque in imum ventrem, & pectinem & interfœmineum incidat, partes circa vesicam laborant.

81. Si quis sanguinem, aut pus, aut squamulas mingat, gravisque odor adsit, vesicæ exulcerationem significat.

82. Quibus in urinæ fistula tubercula innascuntur, iis, suppuratione facta et eruptione, solutio contingit.

83. Urina copiose de nocte reddita, paucam alvi dejectionem significat.



ΤΜΗΜΑ ΠΕΜΠΤΟΝ.

Α.

ΣΠΑΣΜΟΣ ἐξ ἐλλεβόρε, θανάσιμος.

β. Ἐπὶ τρώμαλι σπασμὸς ἐπιγενόμενος, θανάσιμος.

γ. Αἵματος πολλε̃ ῥυέντος, σπασμὸς, ἢ λυΓμὸς ἐπιγενόμενος, κακόν.

δ. Ἐπὶ ὑπερκαθάρσει σπασμὸς, ἢ λυΓμὸς, ἐπιγενόμενος, κακόν.

ε. Ην μεθύων ἐξαίφνης ἄφωνός τις γένηται, σπασθεὶς ἀποθνήσκει, ἢν μὴ πυρετὸς ἐπιλάβῃ, ἢ ἐς τὴν ὥρην ἐλθὼν καθ᾽ ἣν αἱ κραιπάλαι λύονται, φθέγξηται.

ϛ. Οκόσοι ὑπὸ τετάνε ἁλίσκονται, ἐν τέσσαρσι ἡμέρῃσιν ἀπόλλυνται· ἢν δὲ ταύτας διαφύγοιεν, ὑγιέες γίνονται.

SECTIO QUINTA.

I.

Convulsio ex veratro, lethalis est.

2. Convulsio si superveniat vulneri, lethalis est.

3. Multo sanguine effuso, convulsio, aut singultus superveniens, malum.

4. Immoderatæ purgationi convulsio, aut singultus superveniens, malum.

5. Si ebrius quispiam subito obmutuerit, convulsus emoritur, nisi eum febris prehendat, aut cum ad horam pervenerit qua crapulæ solvuntur, vocem recuperet.

6. Qui tetano corripiuntur, intra quatuor dies pereunt, si tamen hos effugerint, sanescunt.

ζ. Τὰ ἐπιληπτικὰ ὁκόσοισι πρὸ τῆς ἥβης γίνεται, μετάςασιν ἴσχει· οἷσι δὲ πέντε καὶ εἴκοσιν ἐτέων γίνεται, τουτέοισι τὰ πολλὰ ξυναποθνήσκει.

η. Οκόσοι πλευριτικοὶ γενόμενοι ἐκ ἀνακαθαίρονται ἐν τεσσαρεσκαίδεκα ἡμέρῃσι, τουτέοισιν ἐς ἐμπύημα μεθίςαται.

θ. Φθίσις γίνεται μάλιςα ἡλικίῃσι τῇσιν ἀπὸ ὀκτωκαίδεκα ἐτέων μέχρι πέντε καὶ τριήκοντα ἐτέων.

ι. Οκόσοισι κυνάγχην διαφεύγεσιν ἐς τὸν πλεύμονα τρέπεται, ἐν ἑπτὰ ἡμέρῃσιν ἀποθνήσκουσι· ἢν δὲ ταυτέας διαφύγωσιν, ἔμπυοι γίνονται.

ια. Τοῖσι ὑπὸ τῶν φθισίων ἐνοχλεμένοισιν, ἢν τὸ πτύσμα ὅπερ ἂν ἀποβήσσωσι, βαρὺ ὄζῃ ἐπὶ τοὺς ἄνθρακας ἐπιχεόμενον, καὶ αἱ τρίχες ἀπὸ τῆς κεφαλῆς ῥέωσι, θανατῶδες.

ιβ. Οκόσοισιν ἂν φθισιῶσι αἱ τρίχες ἀπὸ τῆς κεφαλῆς ῥέωσι, οὗτοι, διαῤῥοίης ἐπιγινομένης, ἀποθνήσκουσι.

7. Comitiales quibus ante pubertatem contingunt, mutationem recipiunt: at quibus quinto et vigesimo anno fiunt, iis magna ex parte commoriuntur.

8. Qui pleuritici facti, intra dies quatuordecim per superiora, non purgantur, iis in suppurationem malum vertitur.

9. Tabes maxime fit ætatibus quæ sunt ab anno decimo-octavo ad trigesimum-quintum.

10. Quibus ex angina liberatis, ad pulmonem malum vertitur, ii intra dies septem intereunt, si tamen hos dies evaserint, suppurati fiunt.

11. In tabe vexatis, si sputum, quod tussi rejiciunt carbonibus impositum, gravem odorem emittat, et capilli e capite defluant, lethale est.

12. Quibus tabe correptis capilli e capite defluunt, ii succedente alvi profluvio moriuntur.

ιγ. Ὁκόσοι αἷμα ἀφρῶδες ἀναπτύουσι, τετέοισι ἡ ἀναγωγὴ ἐκ τῦ πλεύμονος γίνεἶαι.

ιδ. Ὑπὸ φθίσεος ἐχομένῳ, διάῤῥοια ἐπιγενομένη, θανατῶδες.

ιε. Ὁκόσοι ἐκ πλευρίτιδος ἔμπυοι γίνονται, ἢν ἀνακαθαρθέωσιν ἐν τεσαράκονἶα ἡμέρῃσιν, ἀφ' ἧς ἂν ῥῆξις γίνηἶαι, παύονται, ἢν δὲ μὴ, ἐς φθίσιν μεθίςανται.

ις. Τὸ θερμὸν βλάπτει ταῦτα πλεονάκις χρεομένοισι· σαρκῶν ἐκθήλυνσιν, νεύρων ἀκράτειαν, γνώμης νάρκωσιν, αἱμοῤῥαγίας, λειποθυμίας. ταῦτα οἷσι θάνατος.

ιζ. Τὸ δὲ ψυχρὸν, σπασμὲς, τετάνους, μελασμὲς, καὶ ῥίγεα πυρετώδεα ἐμποιέει.

ιη. Τὸ ψυχρὸν πολέμιον ὀςέοισιν, ὀδῦσι, νεύροισιν, ἐγκεφάλῳ, νωτιαίῳ μυελῷ, τὸ δὲ θερμὸν ὠφέλιμον.

ιθ. Ὁκόσα κατέψυκται ἐκθερμαίνειν, πλὴν ὁκόσα αἱμοῤῥαγέει, ἢ μέλλει.

13. Qui spumantem sanguinem despuunt, iis ex pulmone educitur.

14. Tabe detento, succedens alvi profluvium, lethale.

15. Qui ex pleuritide suppurati fiunt, si intra dies quadraginta, ex quo ruptio facta est, per superiora purgentur, liberantur, alioqui in tabem transeunt.

16. Calidum eo frequentius utentibus, has affert noxias, carnium effœminationem, nervorum impotentiam, mentis torpedinem, sanguinis profluvia, animi defectiones. Hæc quibus accidunt mors.

17. Frigidum vero convulsiones, nervorum distentiones, livores, et rigores febriles infert.

18. Frigidum ossibus, dentibus, nervis, cerebro, dorsali medullæ, inimicum, calidum vero utile.

19. Perfrigerata excalefacito, præter ea quæ sanguinem effundunt, aut brevi effundent.

κ. Ἕλκεσι τὸ μὲν ψυχρὸν δακνῶδες, δέρμα περισκληρύνει, ὀδύνην ἀνεκπύητον ποιέει, μελαίνει, ῥίγεα πυρετώδεα, σπασμοὺς καὶ τετάνους ποιέει.

κα. Ἔστι δὲ ὅκου ἐπὶ τετάνου ἄνευ ἕλκεος νέῳ εὐσάρκῳ, θέρεος μέσου, ψυχροῦ πολλοῦ καταχύσις, ἐπανάκλησιν θέρμης ποιέεται. Θέρμη δὲ ταῦτα ῥύεται.

κβ. Τὸ θερμὸν ἐκπυητικὸν, ἐπὶ παντὶ ἕλκει, πλὴν ἐπὶ νεαρῷ, μέγιστον σημήϊον ἐς ἀσφαλείην, δέρμα μαλάσσει, ἰσχναίνει, ἀνώδυνον, ῥιγέων, σπασμῶν, τετάνων παρηγορικόν· τὴν δὲ ἐν τῇ κεφαλῇ καρηβαρίην λύει· πλεῖστον δὲ διαφέρει ὀστέων κατήγμασι, μάλιστα δὲ τοῖσιν ἐψιλωμένοισι· τουτέων δὲ μάλιστα, τοῖσιν ἐν κεφαλῇ ἕλκεα ἔχουσι· καὶ ὁκόσα ὑπὸ ψύξεος θνήσκει, ἢ ἑλκοῦται, καὶ ἕρπησιν ἐσθιομένοισι, ἕδρῃ, αἰδοίῳ, ὑστέρῃ, κύστει· τουτέοισι τὸ μὲν θερμὸν φίλιον, καὶ κρῖνον, τὸ δὲ ψυχρὸν πολέμιον, καὶ κτεῖνον.

20. Frigidum ulceribus mordax, cutem obdurat, dolorem insuppurabilem facit, denigrat, rigores febriles, convulsiones, et tetanos invehit.

21. Est vero ubi in tetano sine ulcere, in juvene mediocri corporis habitu prædito, æstate media, frigidæ multæ profusio caloris revocationem efficit. Calor autem hæc sanat.

22. Calidum suppurationem movens, in omni vulnere, excepto vulnere recenti, maximum securitatis indicium exhibet, cutem emollit, attenuat, dolorem tollit, rigores, convulsiones, tetanos mitigat, capitis gravitatem solvit: ossium vero fracturis plurimum confert, sed præcipue his quæ nudata sunt, iisque maxime qui in capite ulcera habent. His etiam quæ a frigore emoriuntur, aut ulcerantur, et herpetibus exedentibus, sedi, pudendo, utero, vesicæ; iis omnibus calidum gratum et judicationem faciens, frigidum vero inimicum et interimens.

κγ. Ἐν τελέουσι δὲ δεῖ τῷ ψυχρῷ χρέεσθαι, ὁκόθεν αἱμοῤῥαγέει, ἢ μέλλει, μὴ ἐπ' αὐτά, ἀλλὰ περὶ αὐτὰ ὁκόθεν ἐπιῤῥέει. καὶ ὅκου φλεγμοναὶ, ἢ ἐπιφλογίσματα ἐς τὸ ἐρυθρὸν καὶ ὕφαιμον ῥέποντα νεαρῷ αἵματι· ἐπεὶ τάγε παλαιὰ μελαίνει. καὶ ἐρυσίπελας τὸ μὴ ἑλκούμενον, ἐπεὶ τόγε ἑλκούμενον βλάπτει.

κδ. Τὰ ψυχρὰ, οἷον χιὼν, ἢ κρύσταλλος, στήθεϊ πολέμια, βηχέων κινητικὰ, αἱμοῤῥοϊκὰ, καταῤῥοϊκά.

κε. Τὰ δὲ ἐν ἄρθροισιν οἰδήματα, καὶ ἀλγήματα, ἄτερ ἕλκεος, καὶ ποδαγρικὰ, καὶ σπάσματα, τουτέων τὰ πλεῖστα ψυχρὸν πολλὸν καταχεόμενον, ῥηΐζει τε, καὶ ἰσχναίνει, καὶ ὀδύνην λύει. νάρκη δὲ μετρίη ὀδύνης λυτική.

κϛ. Ὕδωρ τὸ ταχέως θερμαινόμενον, καὶ ταχέως ψυχόμενον, κουφότατον.

κζ. Ὁκόσοισι δὲ πιεῖν ὄρεξις νύκτωρ, τοῖσι πάνυ διψῶσιν, ἢν ἐπικοιμηθέωσιν, ἀγαθόν.

23. At frigido in his utendum, unde sanguis profunditur, aut profusurus est, non supra ipsas partes, sed circa eas unde profluit. Et etiam ubi inflammationes, aut incendiosa quædam ad rubrum et subcruentum ex recenti sanguine vergentia : inveterata namque denigrat. Confert etiam ubi adest erysipelas non ulceratum, siquidem exulceratum lædit.

24. Frigida, veluti nix, vel glacies, pectori sunt adversa, tusses movent, sanguinis eruptiones, et destillationes efficiunt.

25. Articulorum tumores, et dolores absque ulcere, et podagricos dolores, et convulsa, magna ex parte frigida large effusa levat, et minuit, doloremque solvit. Moderatus namque torpor dolorem tollit.

26. Aqua quæ cito calescit et cito refrigeratur, levissima.

27. Hæc vero confert quibus bibendi de nocte appetentia est, iis admodum sitientibus, et si postea dormierint, bonum.

κη. Γυναικείων ἀΐογὸν ἢ ἐν ἀρώμασι πυρίῃ πολλαχῇ δὲ καὶ ἐς ἄλλα χρησίμη ἂν ἦν, εἰ μὴ καρηβαρίας ἐνεποίεε.

κθ. Γυναικὶ ἐν γαστρὶ ἐχέσῃ ὑπό τινος τῶν ὀξέων νεσημάτων ληφθῆναι, θανατῶδες.

λ. Γυνὴ ἐν γαςρὶ ἔχεσα φλεβοτομηθεῖσα ἐκλιτρώσκει, ἢ μᾶλλον εἰ μέζον εἴη τὸ ἔμβρυον.

λα. Γυναικὶ αἷμα ἐμεέσῃ, τῶν καταμηνίων ῥαγέντων, λύσις.

λβ. Γυναικὶ τῶν καταμηνίων ἐκλειπόντων, αἷμα ἐκ τῶν ῥινῶν ῥῦναι, ἀγαθόν.

λγ. Γυναικὶ ἐν γαστρὶ ἐχέσῃ, ἢν ἡ κοιλίη πολλὰ ῥυῇ, κίνδυνος ἐκτρῶσαι.

λδ. Γυναικὶ ὑπὸ ὑςερικῶν ἐνοχλεομένῃ, ἢ δυςοκεέσῃ, πταρμὸς ἐπιγινόμενος, ἀγαθόν.

λε. Γυναικὶ τὰ καταμήνια ἄχροα, καὶ μὴ κατὰ τὰ αὐτὰ αἰεὶ γινόμενα, καθάρσεος δέεσθαι σημαίνει.

λς. Γυναικὶ ἐν γαστρὶ ἐχέσῃ, ἢν οἱ μαζοὶ ἐξαίφνης ἰσχνοὶ γένωνται, ἐκτιτρώσκει.

28. Odoramentorum suffitus muliebria educit: sæpe vero ad alia etiam utilis esset, nisi capitis gravitatem inferret.

29. Mulierem utero gerentem morbo quopiam acutò corripi, lethale.

30. Mulier utero gerens vena secta abortit, idque potissimum si fœtus grandior fuerit.

31. Mulieri sanguinem evomenti, menstruis erumpentibus, solutio contingit.

32. Mulieri menstruis deficientibus sanguis ex naribus profluens, bono est.

33. Mulieri utero gerenti, si alvus multum profluat, abortionis periculum est.

34. Mulieri ab uterina passione vexatæ, aut difficulter parienti, sternutatio succedens, bonum.

35. Mulieri menses decolores, neque semper eadem periodo procedentes, purgatione opus esse indicant.

36. Mulieri utero gerenti si mammæ derepente gracilescant, abortit.

λζ. Γυναικὶ ἐν γαςρὶ ἐχέσῃ, ἢν ὁ ἕτερος μαζὸς ἰσχνὸς γένηται, δίδυμα ἐχέσῃ, θάτερον ἐκτιτρώσκει· καὶ ἢν μὲν ὁ δεξιὸς ἰσχνὸς γένηται, τὸ ἄῤῥεν· ἢν δὲ ὁ ἀριςερὸς, τὸ θῆλυ.

λη. Ην γυνὴ μὴ κύεσα, μηδὲ τετοκυῖα γάλα ἔχῃ, ταυτέῃ τὰ καταμήνια ἐκλέλοιπε.

λθ. Γυναιξὶ ὁκόσῃσιν ἐς τὰς τιτθὰς αἷμα ξυςρέφεται, μανίην σημαίνει.

μ. Γυναῖκα ἢν θέλῃς εἰδέναι εἰ κύει, ἐπὴν καθεύδειν μέλλῃ, μελίκρατον δῦναι πιεῖν· κἢν μὲν ςρόφος αὐτέην ἔχῃ περὶ τὴν γαστέρα, κύει· ἢν δὲ μὴ, ἒ.

μα. Γυνὴ ἔγκυος, ἢν μὲν ἄῤῥεν κύῃ, εὔχροος ἐςί· ἢν δὲ θῆλυ, δύσχροος.

μβ. Γυναικὶ κυέσῃ ἢν ἐρυσίπελας ἐν τῇ ὑστέρῃ γένηται, θανατῶδες.

μγ. Οκόσαι παρὰ φύσιν λεπταὶ ἐἔσαι ἐκτιτρώσκεσιν, ἐ κύεσι πρὶν ἢ παχυνθῆναι.

μδ. Οκόσαι δὲ μετρίως τὸ σῶμα ἔχεσαι

37. Mulieri utero gemellos gerenti, si altera mamma gracilis evadat, alterum abortu edit: et si quidem dextra mamma gracilescat, marem, si vero sinistra, fœminam.

38. Si mulier non prægnans, neque puerpura, lac habet, ei menstrua defecerunt.

39. Quibus mulieribus ad mammas sanguis colligitur, furorem indicat.

40. Si nosse velis num mulier conceperit, ei dormituræ aquam mulsam propinato, et si ventris tormina eam corripuerint concepit, sin minus, non concepit.

41. Mulier prægnans, si marem gestat, coloratior est, si fœminam, minus colorata.

42. Mulieri prægnanti erysipelas in utero si fiat, lethale.

43. Quæ præter naturam tenues abortiunt, utero non gerunt priusquam crescescant.

44. Quæ mediocri corporis habitu

ἐκτιτρώσκουσι δίμηνα καὶ τρίμηνα ἄτερ προφάσιος φανερῆς, ταυτέῃσι αἱ κοτυληδόνες μύξης μεσταί εἰσι, καὶ οὐ δύνανται κρατέειν ὑπὸ τοῦ βάρεος τὸ ἔμβρυον, ἀλλὰ ἀποῤῥήγνυνται.

με. Ὁκόσαι παρὰ φύσιν παχεῖαι ἐοῦσαι μὴ ξυλλαμβάνουσιν ἐν γαστρὶ, ταύτῃσι τὸ ἐπίπλοον τὸ στόμα τῶν ὑστερέων ἀποπιέζει, καὶ πρὶν ἢ λεπτυνθῆναι, οὐ κύουσι.

μς. Ην ὑστέρη ἐν τῷ ἰσχίῳ ἐγκειμένη ἔη, καὶ διαπυήσῃ, ἀναγκαίη ἔμμοτον γενέσθαι.

μζ. Ἔμβρυα τὰ μὲν ἄρσενα ἐν τοῖσι δεξιοῖσι, τὰ δὲ θήλεα ἐν τοῖσιν ἀριστεροῖσι μᾶλλον.

μη. Ες ὑστερέων ἐκπτώσιας πταρμικὸν προσθεὶς, ἐπιλαμβάνειν τοὺς μυκτῆρας καὶ τὸ στόμα.

μθ. Γυναικὶ ἐν γαστρὶ ἐχούσῃ, τεινεσμὸς ἐπιγενόμενος ἐκτρώσιν ποιέει.

ν. Γυναικὶ τὰ καταμήνια ἢν βούλῃ ἐπισχεῖν, σικύην ὡς μεγίστην πρὸς τοὺς τιτθοὺς πρόσβαλλε.

να. Ὁκόσαι ἐν γαστρὶ ἔχουσι, τούτεων τὸ στόμα τῶν ὑστερέων ξυμμέμυκε.

prægnantes, fœtus bimestres aut trimestres, absque occasione manifesta, abortione excludunt, iis uteri acetabula mucoris plena sunt, neque præ pondere fœtum continere possunt, sed ipse abrumpitur.

45. Quæ præter naturam crassæ non concipiunt, iis omentum os uteri comprimit, neque priusquam extenuentur, prægnantes efficiuntur.

46. Si uterus ad coxam incumbat, et suppuratus fuerit, ulcus fistulosum fieri necesse est.

47. Mares fœtus uteri dextra parte, fœminæ sinistra magis gestantur.

48. Ut secundæ excidant, sternutatorio apposito, nares et os comprimito.

49. Mulieri in utero habenti, tenesmus superveniens abortum facit.

50. Mulieri si voles menstrua sistere, cucurbitulam quam maximam ad mammas appone.

51. Quæ utero gerunt, iis uteri os connivet.

νβ. Ην γυναικὶ ἐν γαςρὶ ἐχέσῃ γάλα πολὺ ἐκ τῶν μαζῶν ῥέῃ, ἀσθενέειν τὸ ἔμβρυον σημαίνει. ἢν δὲ στερεοὶ οἱ μαςοὶ ἔωσι, ὑγιεινότερον τὸ ἔμβρυον σημαίνει.

νγ. Οκόσαι διαφθείρειν μέλλεσι, ταύτῃσι οἱ τιτθοὶ ἰσχνοὶ γίνονται. ἢν δὲ πάλιν σκληροὶ γένωνται, ὀδύνη ἔσται ἢ ἐν τοῖσι τιτθοῖσιν, ἢ ἐν τοῖσιν ἰσχίοισιν, ἢ ἐν τοῖσιν ὀφθαλμοῖσιν, ἢ ἐν τοῖσι γόνασι, καὶ ὐ διαφθείρει.

νδ. Οκόσῃσι τὸ στόμα τῶν ὑστερέων σκληρόν ἐστι, ταύτῃσιν ἀναγκαίη τὸ στόμα τῶν ὑςερέων ξυμμύειν.

νε. Οκόσαι ἐν γαστρὶ ἔχεσαι ὑπὸ πυρετῶν λαμβάνονται, καὶ ἰσχυρῶς ἰσχναίνονται ἄνευ προφάσεος φανερῆς, τίκτεσι χαλεπῶς καὶ ἐπικινδύνως, ἢ ἐκτιτρώσκεσαι κινδυνεύεσι.

νς. Επὶ ῥόῳ γυναικηΐῳ σπασμὸς καὶ λειποθυμίη ἢν ἐπιγίνηται, κακόν.

νζ. Καταμηνίων γινομένων πλεόνων, νῦσοι ξυμβαίνεσι, καὶ μὴ γινομένων ἀπὸ τῆς ὑςέρης γίνονται νῦσοι.

52. Mulieri uterum gerenti, si lac copiosum e mammis effluat, fœtum imbecillum esse indicat. Quod si solidæ mammæ fuerint, valentiorem fœtum significant.

53. Quæ abortum facturæ sunt, iis mammæ extenuantur. Quod si denuo duræ evadant, dolor erit vel in mammis, vel in coxis, vel in oculis, vel in genibus, neque mulier obortit.

54. Quibus os uteri durum est, iis connivere os uteri necesse est.

55. Quæ utero gerentes febribus corripiuntur, et valde extenuantur citra manifestam causam, eæ difficulter et cum periculo pariunt, aut abortum facientes periclitantur.

56. Si profluvio muliebri convulsio et animi defectio supervenerit, malo est.

57. Mensibus copiosioribus profluentibus, morbi contingunt, et non prodeuntibus ab utero morbi eveniunt.

νη. Ἐπὶ ἀρχῷ φλεγμαίνοντι, καὶ ὑστέρῃ φλεγμαινούσῃ, στραγγουρίη ἐπιγίνεται· καὶ ἐπὶ νεφροῖσιν ἐμπύουσι, στραγγουρίη ἐπιγίνεται· ἐπὶ δὲ ἥπατι φλεγμαίνοντι, λὺγξ ἐπιγίνεται.

νθ. Γυνὴ ἢν μὴ λαμβάνῃ ἐν γαστρὶ, βούλῃ δὲ εἰδέναι εἰ λήψεται, περικαλύψας ἱματίοισι, θυμία κάτωθεν· κἢν μὲν πορεύεσθαί σοι δοκέῃ ἡ ὀδμὴ διὰ τοῦ σώματος ἐς τὰς ῥῖνας καὶ ἐς τὸ στόμα, γίνωσκε ὅτι αὐτὴ οὐ δι' ἑωυτὴν ἄγονός ἐστι.

ξ. Ἢν γυναικὶ ἐν γαστρὶ ἐχούσῃ αἱ καθάρσεες πορεύωνται πολλαὶ, ἀδύνατον τὸ ἔμβρυον ὑγιαίνειν.

ξα. Ἢν γυναικὶ αἱ καθάρσεες μὴ πορεύωνται, μήτε φρίκης, μήτε πυρετοῦ ἐπιγινομένου, ἄσαι δὲ αὐτέῃ προσπίπτωσι, λογίζου ταυτὴν ἐν γαστρὶ ἔχειν.

ξβ. Ὁκόσαι ψυχρὰς καὶ πυκνὰς τὰς μήτρας ἔχουσιν οὐ κυΐσκουσι, καὶ ὁκόσαι καθύγρους αὐτὰς ἔχουσιν οὐ κυΐσκουσιν ἀποσβέννυται γὰρ αὐτέῃσι

extinguitur.

58. Recto intestino et utero inflammatione affectis stranguria accidit; renibus etiam purulentis stranguria succedit; jecori vero inflammatione laboranti supervenit singultus.

59. Si mulier non concipiat, scire autem volueris num conceptura sit, vestibus undique obvolutæ per inferna suffitum apponito: et si odor quidem ad nares et os usque, per corpus tibi pervadere videatur, ipsam non ex sese infœcundam esse scito.

60. Si mulieri utero gerenti purgationes multæ eant, fœtus ut bene valeat fieri non potest.

61. Si mulieri purgationes non prodeant, neque horrore, neque febre succedente, ciborumque fastidia ei accidant, gravidam esse existimato.

62. Quæ frigidos et densos habent uteros, non concipiunt, neque quæ præhumidos habent, siquidem in ipsis genitura

ὁ γόνος· καὶ ὁκόσαι ξηρὰς μᾶλλον καὶ περικεκαυμένας· ἐνδείῃ γὰρ τῆς τροφῆς φθείρεται τὸ σπέρμα. ὁκόσαι δὲ ἐξ ἀμφοτέρων τὴν κρῆσιν ἔχουσι ξύμμετρον, αἱ τοιαῦται ἐπίτεκνοι γίνονται.

ξγ. Παραπλησίως δὲ καὶ ἐπὶ τῶν ἀρρένων· ἢ γὰρ διὰ τὴν ἀραιότητα τοῦ σώματος τὸ πνεῦμα ἔξω φέρεται, πρὸς τὸ μὴ παραπέμπειν τὸ σπέρμα· ἢ διὰ τὴν πυκνότητα τὸ ὑγρὸν οὐ διαχωρέει ἔξω, ἢ διὰ τὴν ψυχρότητα οὐκ ἐκπυροῦται ὥστε ἀθροίζεσθαι πρὸς τὸν τόπον τοῦτον· ἢ διὰ τὴν θερμασίην, τοῦτο γίνεται.

ξδ. Γάλα διδόναι κεφαλαλγέουσι, κακόν. κακὸν δὲ καὶ πυρεταίνουσι, καὶ οἷσι ὑποχόνδρια μετέωρα διαβορβορίζεται, καὶ τοῖσι διψώδεσι· κακὸν δὲ καὶ τοῖσι χολωδέστερας τὰς ὑποχωρήσιας ἐν ὀξέσι πυρετοῖσιν ἔχουσι, καὶ οἷσι αἵματος πολλοῦ διαχώρησις γέγονε. ἁρμόζει δὲ τοῖσι φθινώδεσι τὸ γάλα, ἀλλὰ μὴ τοῖσι λίην πολλῷ πυρέσσουσι. διδόναι δὲ γάλα καὶ ἐν πυρετοῖσι

extinguitur : et quæ plus æquo siccos et immodice calidos habent, alimenti namque inopia semen corrumpitur. At quæ ex utrisque moderatam nactæ sunt temperiem, eæ fœcunditate valent.

63. Pari modo etiam maribus evenit: aut enim propter corporis raritatem spiritus extra fertur, ita ut semen non transmittat; aut propter densitatem humor foras non excernitur, aut ob frigiditatem non accenditur, ut ad eum locum coacervari possit, aut ob caliditatem hoc contingit.

64. Lac exhibere capite dolentibus, malum. Malum item et febricitantibus, et quibus præcordia sublata murmurant, et siticulosis. Malum quoque quibus per febres acutas biliosiores sunt dejectiones, et quibus copiosa sanguinis dejectio facta est. Tabidis etiam lac convenit, sed non valde admodum febricitantibus. Dandum quoque lac in febribus longis et tussibundis, si

μακροῖσι βηχικοῖσι, μηδενὸς ὁκόσων προειρημένων σημείων παρεόντος, παρὰ λόγον δὲ ἐκτεληκότων.

ξε. Ὁκόσοισιν οἰδήματα ἐπὶ ἕλκεσι φαίνεται, οὐ μάλα σπῶνται, οὐδὲ μαίνονται. τουτέων δὲ ἀφανισθέντων ἐξαίφνης, τοῖσι μὲν ὄπισθεν, σπασμοὶ, τέτανοι· τοῖσι δὲ ἔμπροσθεν, μανίη, ὀδύνη πλευροῦ ὀξέη, ἢ ἐμπύησις, ἢ δυσεντερίη, ἢν ἐρυθρὰ ἔῃ τὰ οἰδήματα.

ξϛ. Ἤν, τρωμάτων ἰσχυρῶν καὶ πονηρῶν ἐόντων, οἴδημα μὴ φαίνηται, μέγα κακόν.

ξζ. Τὰ χαῦνα, χρηστά· τὰ δὲ ὠμὰ, κακά.

ξη. Τῷ τὰ ὄπισθεν τῆς κεφαλῆς ὀδυνωμένῳ, ἡ ἐν μετώπῳ ὀρθίη φλὲψ τμηθεῖσα, ὠφελέει.

ξθ. Ῥίγεα ἄρχεται γυναιξὶ μὲν, ἐξ ὀσφύος μᾶλλον, καὶ διὰ νώτου ἐς τὴν κεφαλήν. ἀτὰρ καὶ ἀνδράσιν μᾶλλον ὄπισθεν, ἢ ἔμπροσθεν τοῦ σώματος; οἷον ἀπὸ πηχέων τε καὶ μηρῶν· ἀτὰρ καὶ τὸ δέρμα ἀραιόν· δηλοῖ δὲ τοῦτο ἡ θρίξ.

nullum ex supra commemoratis signis adsit, et præter rationem extenuetur æger.

65. Quibus a vulneribus tumores conspiciuntur, ii non maxime convelluntur, neque insaniunt. At iis derepente evanescentibus, iis quidem, quibus a tergo ulcera fuerint, convulsiones et tetani fiunt. Quibus vero in anteriori parte, insania, aut lateris dolor acutus, aut puris collectio accidet, aut dysenteria, si tumores fuerint rubri.

66. Si, magnis et pravis existentibus vulneribus, tumor non conspiciatur, ingens malum.

67. Molles tumores boni, at crudi mali.

68. Ei qui parte capitis posteriore dolet, recta in fronte incisa vena, prodest.

69. Rigores mulieribus quidem initium ducunt ex lumbis, magis, et per dorsum ad caput. Sed viris parte corporis posteriore magis, quam anteriore, veluti ex cubitis et femoribus. Sed et cutis iis rara est : id autem pilus indicat.

ο'. Οἱ ὑπὸ τεταρταίων ἁλισκόμενοι ὑπὸ σπασμοῦ οὐ πάνυ τι ἁλίσκονται. ἢν δὲ ἁλίσκωνται πρότερον, καὶ ἐπιγένηται τεταρταῖος, ῥύονται.

οα'. Ὁκόσοισι δέρματα περιτείνεται καρφαλέα καὶ σκληρὰ, ἄνευ ἱδρῶτος τελευτῶσι. ὁκόσοισι δὲ χαλαρὰ καὶ ἀραιὰ, ξὺν ἱδρῶτι τελευτῶσι.

οβ'. Οἱ ἰκτεριώδεες, οὐ πάνυ τι πνευματώδεές εἰσι.

70. Qui quartanis corripiuntur, non admodum convulsione tentantur. Quod si prius corripiantur, et quartana succedat, liberantur.

71. Quibus cutis obtenditur arida et dura, ii sine sudore moriuntur. At quibus laxa et rara, cum sudore obeunt.

72. Qui flava bile abundant, non multum flatulenti sunt.



ΤΜΗΜΑ ΕΚΤΟΝ.

A.

Ἐν τῇσι χρονίῃσι λειεντερίῃσιν ὀξυρεγμίη ἐπιγινομένη, μὴ γινομένη πρότερον, σημεῖον ἀγαθόν.

β. Οἷσι ῥῖνες ὑγρότεραι φύσει, καὶ ἡ γονὴ ὑγροτέρη, ὑγιαίνουσι νοσηρότερον· οἷσι δὲ ὑπὸ νόσου τἀναντία, ὑγιεινότερον.

γ. Ἐν τῇσι μακρῇσι δυσεντερίῃσι, αἱ ἀποσιτίαι κακόν, καὶ ξὺν πυρετῷ ἐοῦσαι, κάκιον.

δ. Τὰ περιμάδηρα ἕλκεα, κακοήθεα.

ε. Τῶν ὀδυνέων καὶ ἐν πλευρῇσι, καὶ ἐν στήθεσι, καὶ ἐν τοῖσιν ἄλλοισι μέλεσιν, ἢν μέγα διαφέρωσι, καταμαθητέον.

ς. Τὰ νεφριτικὰ, καὶ ὁκόσα κατὰ τὴν κύστιν, ἐργωδέως ὑγιάζεται τοῖσι πρεσβύτῃσι.

SECTIO SEXTA.

I.

In diuturnis lienteriis, si ructus acidus, qui antea non extitit, succedat, bonum est signum.

2. Quibus nares natura sunt humidiores, et genitale semen liquidum, sanis insalubre, quibus vero a morbo e contra fit, salubrius.

3. In longis dysenteriis cibi fastidia malum denunciant, et si accidunt cum febre, pejus.

4. Ulcera undiquaque glabra, maligna.

5. Dolores et in lateribus, et in pectore, et in cæteris membris, num multum infestent, animadvertendum.

6. Renum, et quæcumque vesicæ vitia, in senibus ægre curantur.

ζ. Τὰ ἀλγήματα καὶ οἰδήματα τὰ κατὰ τὴν κοιλίην γινόμενα, τὰ μὲν μετέωρα κουφότερα· τὰ δὲ μὴ μετέωρα ἰσχυρότερα.

η. Τοῖσι ὑδρωπικοῖσι τὰ γινόμενα ἕλκεα ἐν τῷ σώματι, οὐ ῥηιδίως ὑγιάζεται.

θ. Τὰ πλατέα ἐξανθήματα καὶ οὐ πάνυ τι κνησμώδεα, ἐργώδεως ὑγιάζεται.

ι. Κεφαλὴν πονέοντι, καὶ περιωδυνέοντι, πῦον, ἢ ὕδωρ, ἢ αἷμα ῥυὲν κατὰ τὰς ῥῖνας, ἢ κατὰ τὸ στόμα, ἢ κατὰ τὰ ὦτα, λύει τὸ νόσημα.

ια. Τοῖσι μελαγχολικοῖσι, καὶ τοῖσι νεφριτικοῖσι, αἱμοῤῥοΐδες ἐπιγινόμεναι, ἀγαθόν.

ιβ. Αἱμοῤῥοΐδας ἰηθέντι χρονίας, ἢν μὴ μία φυλαχθῇ, κίνδυνος ὕδρωπα ἐπιγενέσθαι, ἢ φθίσιν, ἢ μανίην.

ιγ. Ὑπὸ λυγμοῦ ἐχομένῳ, πταρμοὶ ἐπιγινόμενοι, λύουσι τὸν λυγμόν.

ιδ. Ὑπὸ ὕδρωπος ἐχομένῳ, τοῦ κατὰ τὰς φλέβας ἐς τὴν κοιλίην ὕδατος ῥυέντος, λύσις.

7. Dolores et tumores ventris, sublimes quidem, leviores: non sublimes vero, vehementiores.

8. Hydropicis quæ in corpore fiunt ulcera, non facile sanantur.

9. Pustulæ latæ et quæ non admodum pruriunt, difficulter sanantur.

10. Capite dolenti, ac vehementer laboranti, pus, aut aqua, aut sanguis, per nares, vel os, vel aures effluens, morbum tollit.

11. Melancholicis affectibus, et renum vitiis, succedentes hæmorrhoides bono sunt.

12. A diuturnis hæmorrhoidibus curato, nisi una servetur, periculum est, ne aqua inter cutem, aut tabes, aut insania succedat.

13. Singultu detento, si sternutamenta accedant, singultum tollunt.

14. Hydrope detento, si aqua per venas in ventrem confluxerit, morbus solvitur.

ιε. Ὑπὸ διαῤῥοίης ἐχομένῳ μακρῆς, ἀπὸ ταὐτομάτου ἔμετος ἐπιγενόμενος, λύει τὴν διάῤῥοιαν.

ιε. Ὑπὸ πλευρίτιδος ἢ ὑπὸ περιπλευμονίης ἐχομένῳ, διάῤῥοια ἐπιγενομένη, κακόν.

ιζ. Ὀφθαλμιῶντι ὑπὸ διαῤῥοίης καλασχεθέντι, κάλον.

ιη. Κύστιν διακοπέντι, ἢ ἐγκέφαλον, ἢ καρδίην, ἢ φρένας, ἢ τῶν ἐντέρων τι τῶν λεπτῶν, ἢ κοιλίην, ἢ ἧπαρ, θανατῶδες.

ιθ. Ἐπὴν διακοπῇ ὀστέον, ἢ χονδρὸς, ἢ νεῦρον, ἢ γνάθε τὸ λεπτὸν, ἢ ἀκροποσθίη, οὔτε αὔξεται, οὔτε ξυμφύεται.

κ. Ἢν ἐς τὴν κοιλίην αἷμα ἐκχυθῇ παρὰ φύσιν, ἀναγκαίη ἐμπυηθῆναι

κα. Τοῖσι μαινομένοισι κιρσῶν, ἢ αἱμοῤῥοΐδων ἐπιγενομένων, τῆς μανίης λύσις.

κβ. Ὁκόσα ῥήγματα ἐκ τῦ νώτε ἐς τὰς ἀγκῶνας καταβαίνει, φλεβοτομίη λύει.

15. Longo alvi profluvio detento, spontanea accedens vomitio, profluvium solvit.

16. Pleuritide aut peripneumonia vehementer detento, succedens alvi profluvium, malum.

17. Lippientem alvi profluvio corripi, bonum.

18. Cui vesica persecta fuerit, aut cerebrum, aut cor, aut diaphragma, aut tenue quoddam intestinum, aut ventriculus, aut jecur, lethale est.

19. Os cum persectum fuerit, aut cartilago, aut nervus, aut genæ tenuis particula, aut præputium, neque augetur, neque coalescit.

20. Si sanguis in cavitatem aliquam præter naturam effusus fuerit, ut in pus vertatur necesse est.

21. Insanientibus si varices, aut hæmorrhoides supervenerint, insaniæ solutio fit.

22. Dolores qui ex dorso ad cubiti articulos descendunt, venæ sectio solvit.

κγ. Ην φόβος καὶ δυσθυμίη πουλὺν χρόνον διατελέῃ, μελαγχολικὸν τὸ τοιοῦτον.

κδ. Εντέρων ἢν διακοπῇ τῶν λεπτῶν τι, ἐ ξυμφύεται.

κε. Ερυσίπελας ἔξωθεν καταχυθὲν, ἔσω τρέπεσθαι, ἐκ ἀγαθόν· ἔσωθεν δὲ ἔξω, ἀγαθόν.

κϛ. Οκόσοισιν ἐν τοῖσι καύσοισι τρόμοι γίνονται, παρακοπὴ λύει.

κζ. Οκόσοι ἔμπυοι, ἢ ὑδρωπικοὶ τέμνονται, ἢ καίονται, ἐκρυέντος τοῦ πύου, ἢ τοῦ ὕδατος ἀθρόου, πάντως ἀπόλλυνται.

κη. Ευνοῦχοι ἐ ποδαγριῶσιν, ἐδὲ φαλακροὶ γίνονται.

κθ. Γυνὴ ἐ ποδαγριᾷ, ἢν μὴ τὰ καταμήνια αὐτέῃ ἐκλίπῃ.

λ. Παῖς ἐ ποδαγριᾷ πρὸ τοῦ ἀφροδιάζειν.

λα. Οδύνας ὀφθαλμῶν ἢ ἀκρητοποσίη, ἢ λουτρὸν, ἢ πυρίη, ἢ φλεβοτομίη λύεται, ἢ φαρμακοποσίη.

23. Metus et tristitia si diu perseverent, melancholiæ istud indicium est.

24. Ex tenuioribus intestinis si quod persectum fuerit, minime coalescit.

25. Erysipelas foras effusum intro verti, minime bonum, at ab interioribus foras, bonum.

26. Quibus in febribus ardentibus tremores contingunt, his delirium solutionem affert.

27. Qui suppurati, aut hydropici uruntur, aut secantur, si pus, aut aqua confertim effluxerit, omnino intereunt.

28. Eunuchi neque podagra laborant, neque calvi fiunt.

29. Mulier podagra non laborat, nisi menstrua ipsi defecerint.

30. Puer podagra non tentatur ante venereorum usum.

31. Oculorum dolores aut meri potio, aut balneum, aut fomentum, aut venæ sectio, aut potio purgans sanat.

λβ. Τραυλοὶ ὑπὸ διαῤῥοίης μάλιστα ἁλίσκονται μακρῆς.

λγ. Οἱ ὀξυρεγμιώδεες, οὐ πάνυ τοι πλευριτικοὶ γίνονται.

λδ. Ὁκόσοι φαλακροὶ, τουτέοισι κιρσοὶ μεγάλοι οὐ γίνονται. ὁκόσοισι δὲ ἂν φαλακροῖσιν ἐοῦσι κιρσοὶ μεγάλοι ἐπιγένωνται, πάλιν οὗτοι γίνονται δασέες.

λε. Τοῖσι ὑδρωπικοῖσι βὴξ ἐπιγινομένη, κακόν.

λϛ. Δυσουρίην φλεβοτομίη λύει· τάμνειν δὲ τὰς ἔσω.

λζ. Ὑπὸ κυνάγχης ἐχομένῳ οἴδημα γενέσθαι ἐν τῷ τραχήλῳ ἔξω, ἀγαθόν.

λη. Ὁκόσοισι κρυπτοὶ καρκῖνοι γίνονται, μὴ θεραπεύειν βέλτιον· θεραπευόμενοι γὰρ ἀπόλλυνται ταχέως· μὴ θεραπευόμενοι δὲ πουλὺν χρόνον διατελέουσι.

λθ. Σπασμοὶ γίνονται, ἢ ὑπὸ πληρώσεος, ἢ ὑπὸ κενώσεος. οὕτω δὲ γίνεται καὶ λυγμός.

32. Balbi longo alvi profluvio maxime corripiuntur.

33. Qui acidum eructant, non admodum pleuritide tentantur.

34. Qui capillorum defluvio laborant, iis varices magni non fiunt. At quibus capillorum defluvio laborantibus varices magni succedunt, iis rursus capillitium gignitur.

35. Hydropicis tussis accidens, malo est.

36. Urinæ difficultatem venæ sectio solvit: secandæ autem sunt interiores venæ.

37. Angina detento, si tumor in collo extrorsum oriatur, bonum.

38. Quibus cancri occulti fiunt, eos non curare præstat. Qui enim curantur celeriter pereunt, qui vero non curantur, multum tempus perdurant.

39. Convulsio aut a repletione, aut ab inanitione oritur, eodem modo etiam fit singultus.

μ. Οκόσοισι περὶ τὸ ὑποχόνδριον πόνος γίνεται ἄτερ φλεγμονῆς, τουτέοισι πυρετὸς ἐπιγενόμενος λύει τὸν πόνον.

μα. Οκόσοισι διάπυόν τι ἐν τῷ σώματι ἐὸν μὴ ἀποσημαίνει, τουτέοισι διὰ παχύτητα τοῦ πύου, ἢ τοῦ τόπου, οὐκ ἀποσημαίνει.

μβ. Εν τοῖσιν ἰκτερικοῖσι τὸ ἧπαρ σκληρὸν γίνεσθαι, πονηρόν.

μγ. Οκόσοι σπληνώδεες ὑπὸ δυσεντερίης ἁλίσκονται, τουτέοισι, γινομένης μακρῆς τῆς δυσεντερίης, ὕδρωψ ἐπιγίνεται, ἢ λειεντερίη, καὶ ἀπόλλυνται.

μδ. Οκόσοισιν ἐκ στραγγουρίης εἰλεοὶ γίνονται, ἐν ἑπτὰ ἡμέρῃσιν ἀπόλλυνται, ἢν μὴ πυρετοῦ ἐπιγενομένου ἅλις τὸ οὖρον ῥυῇ.

με. Ελκεα ὁκόσα ἐνιαύσια γίνεται, ἢ μακρότερον χρόνον ἴσχει, ἀναγκαίη ὀστέον ἀφίστασθαι, καὶ τὰς οὐλὰς κοίλας γίνεσθαι.

μς. Οκόσοι ὗβοι ἐξ ἄσθματος, ἢ βηχὸς γίνονται πρὸ τῆς ἥβης, ἀπόλλυνται.

40. Quibus ad hypochondrium dolor citra inflammationem oritur, iis febris succedens dolorem solvit.

41. Quibus suppuratum quid in corpore abditum non innotescit, iis ob puris, aut loci crassitudinem, sui indicium non præbet.

42. Morbo regio laborantibus jecur durum fieri, malum.

43. Lienosis qui dysenteria corripiuntur, si longius protrahatur dysenteria, hydrops, aut lævitas intestinorum supervenit, et moriuntur.

44. Quibus ex stranguria volvulus accedit, intra diem septimum moriuntur, nisi febre accedente copiosa urina effluat.

45. Ulcera annua quæcumque fiunt, aut longius tempus detinent, in iis os abscedere est necesse, et cicatrices cavas fieri.

46. Qui gibbosi ex asthmate, aut tussi fiunt ante pubertatem, moriuntur.

μζ. Ὁκόσοισι φλεβοτομίη, ἢ φαρμακείη ξυμφέρει, τούτους τοῦ ἦρος φλεβοτομέειν, ἢ φαρμακεύειν.

μη. Τοῖσι σπληνώδεσι δυσεντερίη ἐπιγενομένη, ἀγαθόν.

μθ. Ὁκόσα ποδαγρικὰ νοσήματα γίνεται, ταῦτα ἀποφλεγμήναντα ἐν τεσσαράκοντα ἡμέρῃσιν ἀποκαθίσταται.

ν. Ὁκόσοισιν ἂν ὁ ἐγκέφαλος διακοπῇ, τούτοισιν ἀνάγκαιη πυρετὸν καὶ χολῆς ἔμετον ἐπιγενέσθαι.

να. Ὁκόσοισι ὑγιαίνουσιν ἐξαίφνης ὀδύναι γίνονται ἐν τῇ κεφαλῇ, καὶ παραχρῆμα ἄφωνοι γίνονται, καὶ ῥέγκουσιν, ἀπόλλυνται ἐν ἑπτὰ ἡμέρῃσιν, ἢν μὴ πυρετὸς ἐπιλάβῃ.

νβ. Σκοπέειν δὲ χρὴ καὶ τὰς ὑποφάσιας τῶν ὀφθαλμῶν ἐν τοῖσι ὕπνοισι· ἢν γάρ τι ὑποφαίνηται τοῦ λευκοῦ, ξυμβαλλομένων τῶν βλεφάρων, μὴ ἐκ διαῤῥοίης ἐοῦσι, ἢ ἐκ φαρμακοποσίης, φλαῦρον τὸ σημήιον, καὶ θανατῶδες σφόδρα.

47. Quibus venæ sectio et medicamentum purgans confert, iis vere venam seca, aut medicamentum purgans exhibe.

48. Lienosis accedens dysenteria, bono est.

49. Podagrici morbi, intra diem quadragesimum, sedata inflammatione, subsidunt.

50. Quibus infarctum fuerit cerebrum, iis febrem et bilis vomitionem succedere necesse est.

51. Quibus bene valentibus capitis dolores derepente contingunt, statimque voce deficiunt, et stertunt, intra dies septem pereunt, nisi febris eos prehenderit.

52. Spectare vero oportet quæ etiam ex oculis per somnum subapparent. Etenim si quid ex albo, non exacte commissis palpebris, subappareat, neque id ex alvi profluvio, aut potione purgante contingat, pravum signum est, et lethale admodum.

νγ. Αἱ παραφροσύναι, αἱ μὲν μετὰ γέλωτος γινόμεναι, ἀσφαλέστεραι· αἱ δὲ μετὰ σπουδῆς, ἐπισφαλέστεραι.

νδ. Ἐν τοῖσιν ὀξέσι πάθεσι τοῖσι μετὰ πυρετοῦ, αἱ κλαυθμώδεες ἀναπνοαὶ, κακαί.

νε. Τὰ ποδαγρικὰ πάθεα καὶ τὰ μανικὰ, τοῦ ἦρος καὶ τοῦ φθινοπώρου κινέεται.

νϛ. Τοῖσι μελαγχολικοῖσι νοσήμασιν ἐς τάδε ἐπικίνδυνοι αἱ ἀποσκήψεες, ἢ ἀπόπληξιν τοῦ σώματος, ἢ σπασμὸν, ἢ μανίην, ἢ τύφλωσιν σημαίνει.

νζ. Ἀπόπληκτοι δὲ μάλιστα γίνονται, ἡλικίῃσι τῇσιν ἀπὸ τεσσαράκοντα ἐτέων ἄχρι ἑξήκοντα.

νη. Ἢν ἐπίπλοον ἐκπέσῃ, ἀναγκαίη ἀποσαπῆναι.

νθ. Ὁκόσοισι ὑπὸ ἰσχιάδος ἐνοχλεομένοισιν, ἐξίσταται τὸ ἰσχίον, καὶ πάλιν ἐμπίπτει, τουτέοισι μύξαι ἐγγίνονται.

53. Deliria quæ cum risu fiunt, tutiora: at quæ serio, periculosiora.

54. In morbis acutis qui cum febre sunt, gemebundæ spirationes, malæ.

55. Podagrici morbi et insaniæ, vere et autumno moventur.

56. Morborum melancholicorum ad hæc periculosi decubitus, aut paraplegiam, aut convulsionem, aut maniam, aut cæcitatem denunciant.

57. At apoplexiæ contingunt maxime, ætatibus iis quæ sunt a quadragesimo anno ab sexagesimum.

58. Ubi omentum exciderit, computrescere necesse est.

59. Quibus coxendicis dolore conflictatis, femoris articulus suo loco excidit, ac rursus recipitur, iis mucores in ea parte nascuntur.

ξ. Οκόσοισι ὑπὸ ἰσχιάδος ἐχομένοισι χρονίης τὸ ἰσχίον ἐξίσαται, τουτέοισι φθίνει τὸ σκέλος, καὶ χωλοῦνται ἢν μὴ καυθῶσι.



60. Quibus a diuturno coxendicis dolore femoris caput suo loco excidit, iis crus tabescit, et claudicant nisi urantur.



ΤΜΗΜΑ ΕΒΔΟΜΟΝ.

Α.

Ἐν τοῖσιν ὀξέσι νοσήμασι ψύξις τῶν ἀκρωτηρίων, κακόν.

β. Ἐπὶ ὀστέῳ νοσήσαντι, σὰρξ πελιδνὴ, κακόν.

γ. Ἐπὶ ἐμέτῳ λὺγξ καὶ ὀφθαλμοὶ ἐρυθροὶ, κακόν.

δ. Ἐπὶ ἱδρῶτι φρίκη, οὐ χρηστόν.

ε. Ἐπὶ μανίῃ δυσεντερίη, ἢ ὕδρωψ, ἢ ἔκστασις, ἀγαθόν.

ς. Ἐν νούσῳ πολυχρονίῃ, ἀποσιτίη, καὶ ἄκρητοι ἔμετοι, καὶ χολώδεες ὑποχωρήσιες, κακόν.

ζ. Ἐκ πολυποσίης ῥῖγος καὶ παραφροσύνη, κακόν.

η. Ἐπὶ φύματος ἔσω ῥήξει, ἔκλυσις, ἢ ἔμετος, ἢ λειποθυμίη γίνεται.

θ. Ἐπὶ αἵματος ῥύσει παραφροσύνη, ἢ σπασμὸς, κακόν.

SECTIO SEPTIMA.

I.

IN acutis morbis extremorum refrigeratio mala.

2. Caro livida ex osse ægrotante, malum denuntiat.

3. Ex vomitione singultus et oculi rubentes, malo sunt.

4. Ex sudore horror minime bonus

5. A furore dysenteria, aut hydrops, aut vehemens mentis alienatio, bono est.

6. In morbo diuturno ciborum aversio, et synceri vomitus, et biliosæ dejectiones, malum.

7. Ex multo potu rigor et delirium, malum.

8. Ex rupto intro abscessu, exolutio, vel vomitus, vel animi defectio contingit.

9. Ex sanguinis profluvio deliratio, aut convulsio, malo est.

ι. Επὶ εἰλεῷ ἔμετος, ἢ λύγξ, ἢ σπασμὸς, ἢ παραφροσύνη, κακόν.

ια. Επὶ πλευρίτιδι περιπλευμονίη, κακόν.

ιβ. Επὶ περιπλευμονίῃ φρενίτις, κακόν.

ιγ. Επὶ τρώμασιν ἰσχυροῖσι σπασμὸς, ἢ τέτανος, κακόν.

ιδ. Επὶ πληγῇ ἐς τὴν κεφαλὴν, ἔκπληξις, ἢ παραφροσύνη, κακόν.

ιε. Επὶ αἵματος πλύσει, πύου πλύσις.

ις. Επὶ πύου πτύσει φθίσις καὶ ῥύσις· ἐπὴν δὲ τὸ πλύελον ἴσχηται, ἀποθνήσκουσι.

ιζ. Επὶ φλεγμονῇ τοῦ ἥπατος, λύγξ.

ιη. Επὶ ἀγρυπνίῃ σπασμὸς καὶ παραφροσύνη, κακόν.

ιθ. Επὶ ὀστέου ψιλώσει ἐρυσίπελας.

κ. Επὶ ἐρυσιπέλατι σηπεδὼν, ἢ ἐκπύησις.

κα. Επὶ ἰσχυρῷ σφυγμῷ ἐν τοῖσι ἕλκεσι, αἱμοῤῥαγίαι.

10. Ab ileo vomitio, aut singultus, aut convulsio, aut delirium, malum.

11. Ex pleuritide peripneumonia, malo est.

12. Ex peripneumonia phrenitis, malum denunciat.

13. Ex vehementibus vulneribus convulsio, aut tetanus, malo est.

14. Ex ictu in capite accepto, stupor aut desipientia, malo est.

15. Ex sanguinis sputo, puris sputum.

16. Ex puris sputo tabes et fluor, ubi vero sputum sistitur, moriuntur.

17. Ex jecoris inflammatione, singultus.

18. Ex vigilia convulsio et delirium, malum.

19. Ex ossis nudatione erysipelas.

20. Ex erysipelate putredo, aut suppuratio.

21. Ex forti in ulceribus pulsu, copiosæ sanguinis eruptiones fiunt.

κβ. Ἐπὶ ὀδύνῃ πολυχρονίῃ τῶν περὶ τὴν κοιλίην, ἐκπύησις.

κγ. Ἐπὶ ἀκρήτῳ ὑποχωρήσει, δυσεντερίη.

κδ. Ἐπὶ ὀστέου διακοπῇ παραφροσύνη, ἢ ἔκπληξις, ἢν ἐς κενεὸν λάβῃ.

κε. Ἐκ φαρμακοποσίης σπασμὸς, θανατῶδες.

κϛ. Ἐπὶ ὀδύνῃ ἰσχυρῇ τῶν περὶ τὴν κοιλίην, ἀκρωτηρίων ψύξις, κακόν.

κζ. Ὅ, τι ἂν ὀστέον, ἢ χόνδρος, ἢ νεῦρον ἀποκοπῇ ἐν τῷ σώματι, οὐκ ὑγιάζεται, οὔτε αὔξεται, οὔτε φύεται.

κη. Ἢν ὑπὸ λευκοῦ φλέγματος ἐχομένῳ διάῤῥοια ἐπιγένηται ἰσχυρὴ, λύει τὴν νοῦσον.

κθ. Ὁκόσοισιν ἀφρώδεα τὰ διαχωρήματα ἐν τῇσι διαῤῥοίῃσι, τουτέοισιν ἀπὸ τῆς κεφαλῆς ἐπικαταῤῥέει.

λ. Ὁκόσοισιν ἐν τοῖσι πυρετοῖσιν, ἐν τοῖσιν οὔροισι κριμνώδεες αἱ ὑποστάσεες γίνονται, μακρὴν τὴν ἀῤῥωστίην σημαίνουσι.

22. Ex diuturno partium circa ventrem dolore, suppuratio.

23. Ex syncera dejectione, dysenteria.

24. Ex osse capitis persecto delirium, aut stupor, si ad vacuum usque penetraverit.

25. Ex medicamenti purgantis potione convulsio, lethalis.

26. Ex vehementi partium circa ventrem dolore, extremorum refrigeratio mala.

27. Os quodcumque, vel cartilago, vel nervus in corpore præcisus fuerit, non in integrum restituitur, neque augetur, neque de novo crescit.

28. Leucophlegmatia detento si vehemens diarrhœa succedat, morbum solvit.

29. Quibus per alvi profluvia, spumosa sunt alvi excrementa, iis ex capite defluunt.

30. Quibus per febres sedimenta crassiori farinæ similia in urinis contingunt, longam ægritudinem denunciant.

λα. Ὁκόσοισι χολώδεες αἱ ὑποστάσεες, ἄνωθεν δὲ λεπταὶ, ὀξέην τὴν ἀῤῥωστίην σημαίνει.

λβ. Ὁκόσοισι δὲ διεστηκότα τὰ οὖρα γίνεται, τουτέοισι ταραχὴ ἐν τῷ σώματι ἰσχυρὴ ἐστί.

λγ. Ὁκόσοισι δὲ ἐπὶ τοῖσιν οὔροισιν ἐπίστανται πομφόλυγες, φρενιτικὰ σημαίνουσι, καὶ μακρὴν ἀῤῥωστίην ἐπιγενήσεσθαι.

λδ. Ὁκόσοισι δὲ λιπαρὴ ἡ ὑπόστασις καὶ ἀθρόη, τουτέοισι νεφριτικὰ, καὶ ὀξέα σημαίνει.

λε. Ὁκόσοισι δὲ νεφριτικοῖσιν ἐοῦσι, τὰ προειρημένα ξυμβαίνει σημήϊα, πόνοι τε ὀξέες περὶ τοὺς μύας τῆς ῥάχεος γίνονται· ἢν μὲν περὶ τοὺς ἔξω τόπους γένωνται, ἀπόστημα προσδέχου ἐσόμενον ἔξω· ἢν δὲ μᾶλλον οἱ πόνοι πρὸς τοὺς ἔσω τόπους γίνωνται, καὶ τὸ ἀπόστημα προσδέχου ἐσόμενον μᾶλλον ἔσω.

λϛ. Ὁκόσοι αἷμα ἐμέουσιν, ἢν μὲν ἄνευ πυρετοῦ, σωτήριον· ἢν δὲ ξὺν πυρετῷ κακόν. θεραπεύειν δὲ τοῖσι ψυκτικοῖσι καὶ τοῖσι στυπτικοῖσι.

31. Quibus biliosa sedimenta sunt, quæ ab initio quidem tenuia fuerunt, acutum morbum significant.

32. Quibus inæquales sunt urinæ, iis vehemens est in corpore turbatio.

33. Quibus vero in urinis supernatant bullæ, phrenitidem ostendunt, et longam fore ægritudinem.

34. Quibus sedimentum crassum et confertum exit, his nephriticam, et acutam ægritudinem significat.

35. Quibus vero renum vitio affectis, prædicta signa contingunt, doloresque acuti circa spinæ musculos fiunt: si quidem circa loca exteriora fiant, abscessum extra fore expecta. Quod si dolores ad loca interna magis vergant, abscessum quoque interius potius futurum expecta.

36. Qui sanguinem vomunt, si quidem sine febre contingat, salutare, cum febre vero malum. Curandum vero refrigerantibus et adstringentibus.

λζ. Καταῤῥόοι ἐς τὴν ἄνω κοιλίην ἐκπυέῦ]αι ἐν ἡμέρῃσιν εἴκοσιν.

λη. Ην ὀρέῃ αἷμα ἢ θρόμϐες, ἢ ςραγΓερίην ἔχῃ, καὶ ὀδύνη ἐμπίπῃ ἐς τὸν περίναιον, καὶ τὸν κτένα, τὰ περὶ τὴν κύςιν νοσέειν σημαίνει.

λθ. Ην γλῶσσα ἐξαίφνης ἀκρατὴς γένηται, ἢ ἀπόπληκτόν τι τῦ σώματος, μελαγχολικὸν τὸ τοιῦτον.

μ. Ην ὑπερκαθαιρομένων τῶν πρεσϐυτέρων λύγξ ἐπιγένηται, ὐκ ἀγαθόν.

μα. Ην πυρετὸς μὴ ἀπὸ χολῆς ἔχῃ τὴν γένεσιν, ὕδατος πολλῦ καὶ θερμῦ κατὰ τῆς κεφαλῆς καταχεομένε, λύσις.

μβ. Γυνὴ ἀμφιδέξιος ὐ γίνεται.

μγ. Οκόσοι ἔμπυοι καίονται, ἢ τέμνονται ἢν μὲν τὸ πῦον καθαρὸν ῥυῇ καὶ λευκὸν, περιγίνονται. ἢν δὲ βορϐορῶδες, καὶ δυσῶδες, ἀπόλλυνται.

μδ. Οκόσοι τὸ ἧπαρ διάπυον καίονται, ἢν μὲν τὸ πῦον καθαρὸν ῥυῇ καὶ λευκὸν,

37. Destillationes in superiorem ventrem, intra vigesimum diem in pus vertuntur.

38. Si quis sanguinem et grumos meiat, et stranguria laboret, dolorque ad interfœmineum, et pectinem pertingat, vesicæ morbus significatur.

39. Si lingua derepente infirma fiat, aut aliqua corporis pars resolvatur, id atram bilem indicat.

40. Si senioribus supra modum purgatis singultus accidat, non bonum.

41. Si febris non ex bile ortum ducat, aqua calida et copiosa capiti affusa, solutio fit.

42. Mulier ambidextra non fit.

43. Suppurati cum uruntur aut secantur, si pus purum et album effluat, evadunt. Quod si cœnosum, et graveolens fuerit, pereunt.

44. Qui ex purulento jecore aduruntur, ii, ubi pus purum fluxerit et album,

περιγίνονται· ἐν χιτῶνι γὰρ τὸ πῦον τέλεόν ἐστι· ἢν δὲ οἷον ἀμόργη ῥυῇ, ἀπόλλυται.

με. Ὀδύνας ὀφθαλμῶν ἀκρητοποσίη, ἢ λουτρὸν, ἢ πυρίη, ἢ φλεβοτομίη λύει.

μϛ. Ὑδρωπιῶντα ἢν βὴξ ἔχῃ, ἀνέλπιστός ἐστι.

μζ. Στραγγουρίην καὶ δυσουρίην θώρηξις καὶ φλεβοτομίη λύει· τάμνειν δὲ τὰς ἔσω.

μη. Ὑπὸ κυνάγχης ἐχομένῳ οἴδημα, ἢ ἐρύθημα ἐν τῷ στήθει ἐπιγενόμενον, ἀγαθόν· ἔξω γὰρ τρέπεται τὸ νόσημα.

μθ. Ὁκόσοισιν ἂν σφακελισθῇ ὁ ἐγκέφαλος, ἐν τρισὶ ἡμέρῃσιν ἀπόλλυνται· ἢν δὲ ταύτας διαφύγωσι, ὑγιέες γίνονται.

ν. Πταρμὸς γίνεται ἐκ τῆς κεφαλῆς, διαθερμαινομένου τοῦ ἐγκεφάλου, ἢ διυγραινομένου τοῦ ἐν τῇ κεφαλῇ κενοῦ. ὑπερχέεται γὰρ ὁ ἀὴρ ὁ ἐνεὼν ἔξω· ψοφέει δὲ, ὅτι διὰ στενοῦ αὐτέῳ ἡ διέξοδος ἐστί.

supersunt,

supersunt, quod pus in tunica ipsis conclusum sit. Sin vero qualis amurca fluat, pereunt.

45. Oculorum dolores, meri potio, aut balneum, aut venæ sectio, solvit.

46. Hydropicum si tussis detineat, desperatus est.

47. Stranguriam et dysuriam, meri potio, et venæ sectio solvit. At secandæ sunt interiores venæ.

48. Ab angina detento, si tumor, vel rubor in pectore contingat, bonum; forás enim morbus vertitur.

49. Quibus cerebrum syderatum est, intra tres dies intereunt. Quod si hos effugerint, sani evadunt.

50. Sternutatio ex capite fit, concalefacto cerebro, aut perhumectata capitis inanitate, aër enim intus contentus extra effunditur: strepitum autem edit, quod ei per angustum sit transitus.

να. Οκόσοι ἧπαρ περιωδυνέουσι, τουτέοισι πυρετὸς ἐπιγενόμενος λύει τὴν ὀδύνην.

νβ. Οκόσοισι ξυμφέρει αἷμα ἀφαιρέειν ἀπὸ τῶν φλεβῶν, τουτέους ἦρος φλεβοτομέεσθαι.

νγ. Οκόσοισι μεταξὺ τῶν φρενῶν καὶ τῆς γαστρὸς φλέγμα ἀποκλείεται, καὶ ὀδύνην παρέχει, οὐκ ἔχον διέξοδον, οὐδὲ ἐς ἑτέρην τῶν κοιλιῶν, τουτέοισι κατὰ τὰς φλέβας ἐς τὴν κύστιν τραπέντος τοῦ φλέγματος, λύσις γίνεται τῆς νούσου.

νδ. Οκόσοισιν ἂν τὸ ἧπαρ ὕδατος ἐμπλησθὲν ἐς τὸν ἐπίπλοον ῥαγῇ, τουτέοισι ἡ κοιλίη ὕδατος ἐμπιπλᾶται, καὶ ἀποθνήσκουσι.

νε. Αλύκην, χάσμην, φρίκην, οἶνος ἴσος ἴσῳ πινόμενος, λύει.

νς. Οκόσοισιν ἐν τῇ οὐρήθρῃ φύματα γίνεται, τουτέοισι, διαπυήσαντος καὶ ἐκραγέντος, λύεται ὁ πόνος.

νζ. Οκόσοισιν ἂν ὁ ἐγκέφαλος σεισθῇ ὑπό τινος προφάσεος, ἀναγκαίη ἀφώνους γενέσθαι παραχρῆμα.

51. Quibus jecur vehementer dolet, iis succedens febris dolorem solvit.

52. Quibus sanguinem ex venis detrahere convenit, iis vere vena secanda est.

53. Quibus inter septum transversum et ventrem pituita concluditur, et dolorem exhibet, neque in alterutram cavitatem viam habet, iis, per venas in vesicam pituita versa, morbi fit solutio.

54. Quibus jecur aqua plenum in omentum eruperit, iis venter aqua impletur, et moriuntur.

55. Anxietudinem, oscitationem, horrorem, vinum æquali aqua temperatum epotum, solvit.

56. Quibus in urethra tubercula fiunt, iis, suppuratione facta et eruptione, dolor levatur.

57. Quibus ex occasione aliqua cerebrum concussum fuerit, eos protinus mutos fieri necesse est.

νη. Τοῖσι σώμασι τοῖσι ὑγρὰς τὰς σάρκας ἔχουσι, λιμὸν ἐμποιέειν· λιμὸς γὰρ ξηραίνει τὰ σώματα.

νθ. Ην ὑπὸ πυρετοῦ ἐχομένῳ, οἰδήματος μὴ ἐόντος ἐν τῇ φάρυγι, πνὶξ ἐξαίφνης ἐπιγένηται, καὶ καταπίνειν εὐκόλως μὴ δύνηται, ἀλλὰ μόλις, θανάσιμον.

ξ. Ην ὑπὸ πυρετοῦ ἐχομένῳ ὁ τράχηλος ἐπιστραφῇ, καὶ καταπίνειν μὴ δύνηται, οἰδήματος μὴ ἐόντος ἐν τῷ τραχήλῳ, θανάσιμον.

ξα. Οκου ἐν ὅλῳ τῷ σώματι μεταβολαὶ, καὶ τὸ σῶμα καταψύχεται, καὶ πάλιν θερμαίνεται, ἢ χρῶμα ἕτερον ἐξ ἑτέρου μεταβάλλεται, μῆκος νούσου σημαίνει.

ξβ. Ιδρὼς πουλὺς, ἢ θερμὸς, ἢ ψυχρὸς, ῥέων αἰεὶ, σημαίνει πλέον ὑγροῦ ὑπάγειν οὖν, τῷ μὲν ἰσχυρῷ, ἄνωθεν· τῷ δὲ ἀσθενεῖ, κάτωθεν.

ξγ. Ιδρὼς πουλὺς χεόμενος, νοῦσον σημαίνει· ὁ ψυχρὸς πολλήν· ὁ θερμὸς ἐλάσσω.

58. Corporibus humida carne præditis, famem inducito, fames enim corpora exsiccat.

59. Si febre detento, nullo existente in faucibus tumore, derepente suffocatio succedat, nec nisi ægre devorare queat, lethale.

60. Si febre detento cervix pervertatur, neque devorare queat, nullo in cervice tumore existente, lethale.

61. Ubi toto corpore mutationes, et corpus universum perfrigeratur, rursusque incalescit, vel subinde colorem commutat, morbi longitudo denuntiatur.

62. Sudor multus, vel calidus, vel frigidus, semper fluens, multam humiditatem significat: deducere igitur oportet; robusto quidem superne, debili vero inferne.

63. Sudor multus si fluat, morbum indicat. Frigidus magnum, calidus minorem.

ξδ. Οἱ πυρετοὶ ὁκόσοι μὴ διαλείποντες ἰσχυρότεροι διὰ τρίτης γίνονται, ἐπικίνδυνοι. ὅτῳ δὲ ἂν τρόπῳ διαλείπωσιν, ἀκίνδυνοι ἔσονται.

ξε. Ὁκόσοισι πυρετοὶ μακροὶ, τουτέοισι φύματα, ἢ πόνοι ἐς τὰ ἄρθρα, ἐγγίνονται.

ξς. Ὁκόσοισι φύματα μακρὰ, ἢ ἐς τὰ ἄρθρα πόνοι ἐκ πυρετῶν γίνονται, οὗτοι σιτίοισι πλέοσι χρέονται.

ξζ. Ἠν τις πυρέσσοντι τροφὴν διδῷ, τῷ μὲν ὑγιαίνοντι ἰσχύς· τῷ δὲ κάμνοντι νοῦσος.

ξη Τὰ διὰ τῆς κύστεος διαχωρέοντα ὁρέειν δεῖ, ἢν οἷα τοῖσι ὑγιαίνουσι ὑποχωρέηται. τὰ ἥκιστα οὖν ὅμοια τουτέοισι, ταῦτα νοσηλότερα· τὰ δὲ ὅμοια τοῖσι ὑγιαίνουσι, ἥκιστα νοσερά.

ξθ. Καὶ οἷσι τὰ ὑποχωρήματα, ἢν ἐάσῃς στῆναι, καὶ μὴ κινήσῃς, οἱονεὶ ὑφίσταται ξύσματα· ἢν ὀλίγα ἔῃ, ὀλίγη ἡ νοῦσος γίνεται· ἢν δὲ πολλὰ,

64. Febres quæcunque non intermittentes tertio die vehementiores evadunt, periculosæ. Quoquo autem modo intermiserint, minus periculosæ erunt.

65. Quos febres longæ exercent, iis tubercula, vel dolores in articulis, innascuntur.

66. Quibus tubercula diutina, aut in articulis dolores ex febribus fiunt, ii copiosioribus cibis utuntur.

67. Si febricanti quis cibum exhibuerit, sano quidem robur, ægrotanti autem morbus.

68. Quæ per vesicam excernuntur spectare oportet, an qualia sanis subeunt. Nam, quæ his minime sunt similia, ea morbosiora. Quæ vero sanis similia, minime morbosa.

69. Et quibus dejectiones, si residere permiseris, neque moveris, veluti strigmenta subsident: si pauca sunt, parvus fit

πολλή· τελέοισι ξυμφέρει ὑποκαθῆραι τὴν κοιλίην. ἢν δὲ μὴ καθαρὴν ποιήσας διδῷς τὰ ῥοφήματα, βλάψεις, κὴ ὁκόσῳ ἂν πλέω δώσῃς, μᾶλλον βλάψεις.

ο. Θκόσοισιν ἂν κάτω ὠμὰ διαχωρέῃ, ἀπὸ χολῆς μελαίνης ἐστί· ἢν πλέω, πλέων, ἢν ἐλάσσω, ἐλάσσων ἡ νοῦσος.

οα. Αἱ ἀποχρέμψεες, αἱ ἐν τοῖσι πυρετοῖσι τοῖσι μὴ διαλείπουσι, αἱ πελιδναὶ, καὶ αἱματώδεες, καὶ χολώδεες, καὶ δυσώδεες, πᾶσαι κακαί. ἀποχωρέουσαι δὲ καλῶς, ἀγαθαὶ, καὶ κατὰ κοιλίην καὶ κύστιν· καὶ ὅκου ἄν τι ἀποχωρέον στῇ μὴ κεκαθαρμένον, κακόν.

οβ. Τὰ σώματα χρὴ, ὅκου ἄν τις βούληται καθαίρεσθαι, εὔροα ποιέειν· κἢν μὲν ἄνω, στῆσαι τὴν κοιλίην· ἢν δὲ κάτω, ὑγραίνειν τὴν κοιλίην.

ογ. Ὕπνος, ἀγρυπνίη, ἀμφότερα μᾶλλον τοῦ μετρίου γινόμενα, κακόν.

morbus; sin vero multa, magnus: iis alvum purgari conducit. Quod si, non purgata alvo, sorbitiones exhibueris, nocebis, et quo plures dederis, eo magis nocebis.

70. Quibus cruda deorsum secedunt, ab atra bile sunt; si plura, major, si pauciora, minor est morbus.

71. In febribus non intermittentibus exscreationes lividæ, cruentæ, biliosæ, et graveolentes, omnes malæ. Cum vero probe secedunt, bonæ, et per alvum, et per vesicam; et ubicunque, quod secedit, substiterit minime purgatum, malum.

72. Corpora, cum quis repurgare voluerit, fluxilia reddere oportet. Quod si supra, alvus sistenda est, si vero infra, humectanda.

73. Somnus, vigilia, utraque si modum excesserint, malum.

οδ. Εν τοῖσι μὴ διαλείπουσι πυρετοῖσιν, ἢν τὰ μὲν ἔξω ψυχρὰ ἔῃ, τὰ δὲ ἔσω καίηται, καὶ δίψη ἔχῃ, θανάσιμον.

οε. Εν μὴ διαλείποντι πυρετῷ, ἢν χεῖλος, ἢ ῥὶς, ἢ ὀφθαλμὸς, ἢ ὄφρυς διαστραφῇ, ἢ μὴ βλέπῃ, ἢ μὴ ἀκούῃ, ἤδη ἀσθενέος ἐόντος, ὅ, τι ἂν ἔῃ τουτέων τῶν σημηΐων, θανάσιμον.

ος. Επὶ λευκῷ φλέγματι ὕδρωψ ἐπιγίνεται.

οζ. Επὶ διαῤῥοίῃ δυσεντερίη.

οη. Επὶ δυσεντερίῃ λειεντερίη.

οθ. Επὶ σφακελισμῷ ἀπόστασις ὀστέου.

π. Επὶ αἵματος ἐμέτῳ φθόη, καὶ κάθαρσις ἄνω· ἐπὶ φθόῃ ῥεῦμα ἐκ τῆς κεφαλῆς· ἐπὶ τῷ ῥεύματι, διάῤῥοια· ἐπὶ τῇ διαῤῥοίῃ, σχέσις τῆς ἄνω καθάρσεος· ἐπὶ τῇ σχέσει, θάνατος.

πα. Επὶ αἵματος πτύσει, πύου πτύσις, καὶ ῥύσις· ἐπὴν δὲ σίαλον ἴσχηται, ἀποθνήσκουσι.

πβ. Οκοῖα καὶ ἐν τοῖσι κατὰ τὴν κύστιν, καὶ τοῖσι κατὰ τὴν κοιλίην ὑποχωρήμασι, καὶ ἐν

74. In febribus non intermittentibus, si externa frigeant, interna vero urantur, et sitis detineat, lethale.

75. In febre non intermittente, si labrum, aut nasus, aut oculus, aut supercilium pervertatur, aut visus, aut auditus deficiat, ægro jam debili, horum quidquid acciderit lethale.

76. Leucophlegmatiæ hydrops succedit.

77. Ex alvi profluvio dysenteria.

78. Dysenteriæ lienteria succedit.

79. Ex syderatione os abscedit.

80. Ex sanguinis vomitione tabes, et per superiora purgatio. Ex tabe fluxio ex capite : ex fluxione alvi profluvium : ex alvi profluvio, purgationis per superiora retentio, ex qua mors.

81. Ex sanguinis sputo, puris sputum, et fluor : ubi autem sputum retinetur, moriuntur.

82. Qualia etiam quæ per vesicam, et alvum, et carnes excernuntur, et sicubi

τοῖσι κατὰ τὰς σάρκας, καὶ ἢν ἐκ ἄλλης τῆς φύσεος τὸ σῶμα ἐκβαίνῃ· ἢν ὀλίγον, ὀλίγη νοῦσος γίνεται· ἢν δὲ πουλὺ, πολλή· ἢν πάνυ πολλὴ, θανάσιμον τὸ τοιοῦτον.



alias

alias corpus a natura recesserit, inspicere oportet. Si parum, parvus est morbus: si multum, magnus, si admodum multum, lethale istud est.



ΑΦΟΡΙΣΜΟΙ ΠΑΡΕΜΒΕΒΛΗΜΕΝΟΙ,

Η

ΤΜΗΜΑ ΟΓΔΟΟΝ.

Α.

ΟΚΟΣΟΙ ὑπὲρ τὰ τεσσαράκοντα ἔτεα φρενιτικοὶ γίνονται, οὐ πάνυ τι ὑγιάζονται· ἧσσον γὰρ κινδυνεύουσι οἷσιν ἂν οἰκηίη τῆς φύσεος καὶ τῆς ἡλικίης ἡ νοῦσος ἔῃ.

β. Ὁκόσοισιν ἐν τῇσιν ἀῤῥωστίῃσι οἱ ὀφθαλμοὶ κατὰ προαίρεσιν δακρύουσιν, ἀγαθόν· ὁκόσοισι δὲ ἄνευ προαιρέσιος, κακόν.

γ. Ὁκόσοισιν ἐν τοῖσι πυρετοῖσι τεταρταίοισιν ἐοῦσι αἷμα ἐκ τῶν ῥινῶν ῥυῇ, πονηρόν.

APHORISMI INTERJECTI,

SEU

SECTIO OCTAVA.

I.

Qui supra quadragesimum annum phrenitici evadunt, ii non admodum convalescunt. Minori namque periculo sunt obnoxii, quorum naturæ et ætati morbus familiaris fuerit.

2. Quibus oculi in morbis sponte illacrymant, bonum; quibus vero non sponte, malum.

3. Quibus per febres quartanas sanguis ex naribus fluxerit, malo est.

δ. Ἱδρῶτες ἐν τῇσι κρισίμοισι ἡμέρῃσι γινόμενοι σφοδροὶ καὶ παχέες, ἐπικίνδυνοι οἱ ὠθεόμενοι ἐκ τῶ μέτωπος, ὥσπερ σαλαγμοὶ ἢ κρυνοί, ἢ ψυχροὶ σφόδρα, ἢ πολλοί. ἀναγκαίη γὰρ τὸν τοιοῦτον ἱδρῶτα πορεύεσθαι μετὰ βίης, καὶ πόνε ὑπερβολῆς, καὶ ἐκθλίψεος πολυχρονίε.

ε. Ἐπὶ χρονίῳ νοσήματι κοιλίης καταφορὴ, κακόν.

ϛ. Ὁκόσα φάρμακα ἐκ ἰῆται, σίδηρος ἰῆται. ὅσα σίδηρος ἐκ ἰῆται, πῦρ ἰῆται· ὅσα δὲ πῦρ ἐκ ἰῆται, ταῦτα χρὴ νομίζειν ἀνίατα.

ζ. Φθίσιες μάλιστα γίνονται ἀπὸ ὀκτωκαίδεκα ἐτέων μέχρι τριήκοντα καὶ πέντε.

η. Τὰ δὲ κατὰ φύσιν γινόμενα κατὰ φθίσιν, ἅπαντα μὲν ἰσχυρά, τὰ δὲ καὶ θανατώδεα. δεύτερον δὲ, ἢν μὲν ἐν τῇ ὥρῃ νοσέῃ, αὐτὴ ἡ ὥρη ξυμμαχέει τῇ νόσῳ, οἷον καύσῳ θέρος, ὑδρωπικῷ χειμών, ὑπερνικᾷ γὰρ τὸ φυσικόν, φοβερώτερον δὲ σπληνί.

4. Sudores diebus judicatoriis vehementes et spissi suborti, periculosi, et qui ex fronte guttarum et scaturiginum instar propelluntur, quique valde frigidi sunt, et copiosi. Ejusmodi namque sudorem cum vi, et summo dolore, expressioneque diuturna prodire necesse est.

5. Ex morbo diuturno alvi fluor, malum.

6. Quæcumque non sanant medicamenta, ea ferrum sanat: quæ ferrum non sanat, ea ignis sanat: quæ vero ignis non sanat, ea incurabilia existimare oportet.

7. Tabes iis maxime ætatibus fiunt quæ a decimo-octavo anno sunt usque ad tricesimum-quintum.

8. Quæ secundum naturam ad tabem vergunt, omnia quidem vehementia, et etiam lethalia. Secundum autem, si in tempore ægrotet: nam tempus ipsum morbo opem fert, quemadmodum febri ardenti æstas, hydropico hyems. Natura enim superior est, at spleni plus affert timoris.

θ. Γλῶσσα μέλαινα καὶ αἱματώδης, εἴ τι τῶν τοιούτων σημείων ἀπέστι, μὴ σφόδρα κακόν. δηλοῖ γὰρ νοῦσον σμικροτέρην.

ι. Ταῦτα μὲν οὖν ἐν τοῖσι πυρετοῖσιν ὀξέσι σημειοῦσθαι χρὴ, ὁκότε μέλλει ἀποθνήσκειν, καὶ ὁκότε σωθήσεσθαι.

ια. Ὄρχις δεξιὸς ψυχρὸς καὶ σπασμώδης, θανατῶδες.

ιβ. Ὄνυχες μέλανες, καὶ οἱ δάκτυλοι τῶν χειρῶν καὶ ποδῶν ψυχροὶ, ξυνεσταλμένοι ἢ καθειμένοι, ἐγγὺς τὸν θάνατον δηλοῦσι.

ιγ. Τὰ χείλεα πελιδνὰ, ἢ καὶ ἀπολελυμένα, καὶ ἐξεστραμμένα, καὶ ψυχρὰ, θανατώδεα.

ιδ. Τὰ ὦτα ψυχρὰ, διαφανέα, ξυνεσταλμένα, θανατώδεά ἐστι.

ιε. Καὶ σκοτοδινιῶν καὶ ἀποστρεφόμενος, τῇ τε ἠρεμίῃ ἡδόμενος καὶ ὕπνῳ καὶ καύματι πολλῷ κατεχόμενος, ἀνέλπιστος.

ις. Καὶ ὑπολυσσέων ἀτρέμα, καὶ ἀγνοέων, καὶ μηδὲ ἀκούων, μηδὲ ξυνιεὶς, θανατῶδες.

9. Lingua nigra atque cruenta, cum quid horum signorum abest, non admodum malum signum: morbum enim minorem significat.

10. Hæc igitur in febribus acutis observare oportet, uti noscamus quando quis moriturus sit, et quando evasurus.

11. Testis dexter frigidus convulsusque, mortiferum est.

12. Ungues nigri, et digiti manuum ac pedum frigidi, contracti vel remissi, mortem proximam esse significant.

13. Labra livida, aut etiam resoluta, et inversa, et frigida, mortifera.

14. Aures frigidæ, pellucidæ, contractæ, lethales sunt.

15. Et tenebricosa vertigine laborans, et lucem aversans, et quiete gaudens, et somno acardore multo detentus, desperatus est.

16. Et qui paulatim rabie agitari incipit, et non agnoscit, neque audit, neque intelligit, exitio proximus est.

ιζ. Μέλλουσίτε ἀποθνήσκειν ταῦτα σαφέςερα γίνεται, καὶ αἱ κοιλίαι ἐπαίρονται, καὶ φυσῶνται.

ιη. Ορος δὲ τοῦ θανάτου, ἐπεὰν τὸ τῆς ψυχῆς θερμὸν ἐπανέλθῃ ὑπὲρ τοῦ ὀμφαλοῦ, ἐς τὸν ἄνω τῶν φρενῶν τόπον, καὶ ξυγκαυθῇ τὸ ὑγρὸν ἅπαν. ἐπειδὰν ὁ πλεύμων καὶ ἡ καρδίη τὴν ἰκμάδα ἀποβάλλωσι, τοῦ θερμοῦ ἀθροοῦντος ἐν τοῖσι θανατώδεσι τόποισιν, ἀποπνέει ἀθρόον τὸ πνεῦμα τοῦ θερμοῦ, ὅθεν περ ξυνέςη τὸ ὅλον ἐς τὸ ὅλον. πάλιν τὸ μὲν διὰ τῶν σαρκῶν, τὸ δὲ διὰ τῶν ἐν κεφαλῇ ἀναπνοῶν, ὅθεν τὸ ζῆν καλέομεν, ἀπολείπουσα ἡ ψυχὴ τὸ τοῦ σώματος σκῆνος, καὶ τὸ θνητὸν εἴδωλον, ἅμα καὶ χολῇ, καὶ αἵματι, καὶ φλέγματι, καὶ σαρκὶ, παρέδωκε.

ΤΕΛΟΣ ΑΦΟΡΙΣΜΩΝ.

17. Morituris quidem signa hæc magis fiunt manifesta, et venter attollitur, atque inflatur.

18. Terminus vero mortis est, cum animæ calor supra umbilicum ad locum septo transverso superiorem ascenderit, et omnis humor exustus fuerit. Cum autem pulmo et cor, calore in mortiferis locis coacervato, humorem emiserint, caloris spiritus confertim exhalat, cujus ope totum cum toto compactum erat. Præterea partim per carnes, partim per capitis spiracula, unde vivere dicimus, relinquens anima corporis domicilium, frigidum et mortale simulacrum, una cum bile, sanguine, pituita, et carne, deditione tradit.

FINIS APHORISMORUM.



ΙΠΠΟΚΡΑΤΟΥΣ

ΠΡΟΓΝΩΣΤΙΚΟΝ.

HIPPOCRATIS

PRÆNOTIONUM,

LIBER.



ΙΠΠΟΚΡΑΤΟΥΣ

ΠΡΟΓΝΩΣΤΙΚΟΝ.

ΤΜΗΜΑ ΠΡΩΤΟΝ.

Α.

ΤΟΝ ἰητρὸν, δοκέει μοι ἄριστον εἶναι, πρόνοιαν ἐπιτηδεύειν.

β. Προγινώσκων γὰρ καὶ προλέγων παρὰ τοῖσιν νοσέουσι, τά τε παρεόντα, καὶ τὰ προγεγονότα, καὶ τὰ μέλλοντα ἔσεσθαι, ὁκόσα τε παραλείπουσι οἱ ἀσθενέοντες ἐκδιηγεύμενος, πιστεύοιτο ἂν μᾶλλον γινώσκειν τὰ τῶν νοσεόντων πρήγματα, ὥστε τολμᾶν ἐπιτρέπειν τοὺς ἀνθρώπους σφέας ἑωϋτοὺς τῷ ἰητρῷ.

γ. Τήν τε θεραπείην ἄριστα ἂν ποιέοιτο προειδὼς τὰ ἐσόμενα ἐκ τῶν παρεόντων παθημάτων. Ὑγιέας μὲν γὰρ ποιέειν ἅπαντας τοὺς ἀσθενέοντας, ἀδύνατον· τοῦτο γὰρ καὶ τοῦ προγινώσκειν τὰ μέλλοντα ἀποβήσεσθαι, κρέσσον ἂν ἦν.

HIPPOCRATIS

HIPPOCRATIS
PRÆNOTIONUM LIBER.

SECTIO PRIMA.

I.

MEDICUM prænotioni operam dare optimum esse mihi videtur.

2. Qui enim præsenserit et prædixerit apud ægrotos, tum præsentia, tum præterita, tum futura, quæque ægri omittunt, exposuerit, res utique ægrotantium magis cognoscere credetur, adeo ut cum fiducia homines seipsos medico committant.

3. Curationemque optime molietur, qui ex præsentibus affectiones futuras prænoverit. Sanare enim omnes ægrotos impossibile : hoc enim præstantius foret, quam futura prænoscere.

O

δ. Ἐπειδὴ δὲ οἱ ἄνθρωποι ἀποθνήσκουσι, οἱ μὲν πρὶν ἢ καλέσαι τὸν ἰητρὸν, ὑπὸ ἰσχύος τῆς νούσου· οἱ δὲ, καὶ ἐσκαλεσάμενοι, παραχρῆμα ἐτελεύτησαν· οἱ μὲν, ἡμέρην μίην ζήσαντες· οἱ δὲ, ὀλίγῳ πλέονα χρόνον, πρὶν ἢ τὸν ἰητρὸν τῇ τέχνῃ πρὸς ἕκαστον νούσημα ἀνταγωνίσασθαι. γνόντα οὖν χρὴ τῶν παθέων τῶν τοιουτέων τὰς φύσεας, ὁκόσον ὑπὲρ τὴν δύναμιν εἰσὶ τῶν σωμάτων· ἅμα δὲ καὶ εἴ τι θεῖον ἔνεστιν ἐν τῇσι νούσοισι, καὶ τουτέου τὴν πρόνοιαν ἐκμανθάνειν.

ε. Οὕτω γὰρ ἂν θαυμάζοιτό τε δικαίως, καὶ ἰητρὸς ἀγαθὸς ἂν εἴη. καὶ γὰρ οὓς οἷόν τε περιγίνεσθαι, τούτους ἔτι μᾶλλον δύναιτο ἂν ὀρθῶς διαφυλάσσειν, ἐκ πλέονος χρόνου προβουλευόμενος πρὸς ἕκαστα· καὶ τοὺς ἀποθανουμένους τε καὶ σωθησομένους προγινώσκων τε καὶ προαγορεύων, ἀναίτιος ἂν εἴη.

ϛ. Σκέπτεσθαι δὲ χρὴ ὧδε ἐν τοῖσιν ὀξέσι

4. Quandoquidem vero homines moriuntur, alii priusquam Medicus accersatur, præ violentia morbi; alii, vocato etiam Medico, confestim vita decesserunt: quidam ubi unum vixerunt diem, quidam tempore paulo diuturniore, priusquam Medicus arte singulis morbis viriliter se opponere possit. Proinde noscendæ talium affectionum naturæ, quantum scilicet vires corporis superant: simulque et si quid divini in morbis inest, hujus quoque providentia ediscenda.

5. Hac enim ratione merito admirationi fuerit, et bonus Medicus exstiterit. Qui namque superstites manere possunt, eos utique longe rectius conservaverit, ex longo antea intervallo ad singula consilium dirigens: tum etiam morituros, tum evasuros ubi prænoverit et prædixerit, a culpa expers fuerit.

6. Considerare autem sic decet in

νουσήμασι· πρῶτον μὲν τὸ πρόσωπον τοῦ νοσέοντος, εἰ ὅμοιόν ἐστι τοῖσι τῶν ὑγιαινόντων, μάλιστα δὲ εἰ αὐτὸ ἑωυτῷ. οὕτω γὰρ ἂν εἴη ἄριστον· τὸ δὲ ἐναντιώτατον τοῦ ὁμοίου, δεινότατον.

ζ. Εἴη δ' ἂν τὸ τοιόνδε· ῥὶς ὀξεῖα, ὀφθαλμοὶ κοῖλοι, κρόταφοι ξυμπεπτωκότες, ὦτα ψυχρὰ, καὶ ξυνεσταλμένα, καὶ οἱ λοβοὶ αὐτῶν ἀπεστραμμένοι, καὶ τὸ δέρμα τὸ περὶ τὸ μέτωπον, σκληρόν τε καὶ περιτεταμένον, καὶ καρφαλέον ἐὸν, καὶ τὸ χρῶμα τοῦ ξύμπαντος προσώπου χλωρόν τε, ἢ καὶ μέλαν ἐὸν, καὶ πελιδνὸν, ἢ μολυβδῶδες.

η. Ην μὲν οὖν ἐν ἀρχῇ τῆς νούσου τὸ πρόσωπον τοιοῦτον ἔῃ, καὶ μήπω οἷόν τε ἔῃ τοῖσιν ἄλλοισι σημηΐοισι ξυντεκμαίρεσθαι, ἐπανέρεσθαι χρὴ, μὴ ἠγρύπνησε ὥνθρωπος, ἢ τὰ τῆς κοιλίης ἐξυγρασμένα ἔῃ ἰσχυρῶς, ἢ λιμῶδές τι ἔχῃ αὐτόν. κἢν μέν τι τουτέων ὁμολογέῃ, ἧσσον νομίζειν δεινὸν εἶναι. κρίνεται δὲ τὰ τοιαῦτα

acutis morbis; primum quidem faciem ægroti, sitne benevolentium faciei, præcipueque sui ipsius similis. Ita enim optima fuerit: quæ vero ab hac similitudine plurimum recedit, gravissimum periculum portendit.

7. Talis autem fuerit; nasus acutus, oculi concavi, collapsa tempora, aures frigidæ et contractæ, imisque suis partibus inversæ, cutis circa frontem dura, intenta et resiccata, et totius faciei color ex viridi pallescens, aut etiam niger, aut lividus, aut plumbeus.

8. Itaque si principio morbi facies talis fuerit, neque adhuc ex aliis signis conjicere potueris, interrogare convenit, num æger vigilaverit, aut alvi excrementa admodum liquida fuerint, aut eum inedia aliqua oppresserit. Quod si quid horum fateatur, minus formidandum esse existimandum. Dijudicantur autem talia die ac

ἐν ἡμέρῃ τε καὶ νυκτὶ, ἢν διὰ ταύτας τὰς προφάσιας, τὸ πρόσωπον τοιοῦτον ἔῃ. ἢν δὲ μηδὲν τελέων φῇ εἶναι, μηδὲ ἐν τῷ χρόνῳ τῷ προειρημένῳ καλασῇ, εἰδέναι χρὴ ἐγγὺς ἐόντα τοῦ θανάτου.

Θ. Ην δὲ καὶ παλαιοτέρου ἐόντος τοῦ νουσήματος, ἢ τριταίου, ἢ τεταρταίου, τὸ πρόσωπον τοιοῦτον ἔῃ, περὶ τελέων ἐπανέρεσθαι, περὶ ὧν καὶ πρότερον ἐκέλευσα, καὶ τὰ ἄλλα τὰ σημήϊα σκέπτεσθαι, τά τε ἐν τῷ ξύμπαντι προσώπῳ, τά τε ἐν τῷ σώματι, καὶ τὰ ἐν τοῖσιν ὀφθαλμοῖσι.

ι. Ην γὰρ τὴν αὐγὴν φεύγωσιν, ἢ δακρύωσιν ἀπροαιρέτως, ἢ διαστρέφωνται, ἢ θάτερος θατέρου ἐλάσσων γίνηται, ἢ τὰ λευκὰ ἐρυθρὰ ἴσχωσιν, ἢ πελιδνὰ φλέβια, ἢ μέλανα ἐν αὐτέοισιν ἔχωσιν, ἢ λῆμαι φαίνωνται περὶ τὰς ὄψεας, ἢ καὶ ἐναιωρεύμενοι, ἢ ἐξίσχοντες, ἢ ἔγκοιλοι ἰσχυρῶς γινόμενοι, ἢ αἱ ὄψεες αὐχμῶσαι καὶ ἀλαμπέες, ἢ τὸ χρῶμα τοῦ ξύμπαντος προσώπου

nocte una, si ex his causis ejusmodi facies fuerit. At si nihil horum esse dixerit, neque intra dictum tempus considat, morti proximum esse sciendum est.

9. Si vero vetustiore jam morbo, aut triduo, aut quatriduo, talis facies exstiterit, de his interrogare oportet de quibus etiam antea præcepi, et reliqua signa, tum ex universa facie, tum ex corpore, et oculis, in considerationem adhibenda.

10. Si namque lucem refugiunt, aut illacrymantur præter voluntatem, aut pervertuntur, aut alter altero minor fiat, aut albæ partes rubescant, aut in iisdem venulas lividas, aut nigras habeant, aut sordes circa pupillam appareant, aut etiam assidue mobiles, aut eminentes, aut vehementer cavi fuerint, aut eorum aspectus squalidus et minime lucidus, aut totius

ἠλλοιωμένον ἔῃ, ταῦτα πάντα κακὰ νομίζειν, καὶ ὀλέθρια εἶναι.

ια. Σκοπέειν δὲ χρὴ καὶ τὰς ὑποφάσιας τῶν ὀφθαλμῶν ἐν τοῖσι ὕπνοισι. ἢν γάρ τι ὑποφαίνηται τῆ λευκῆ τῶν βλεφάρων μὴ ξυμβαλλομένων, μὴ ἐκ διαῤῥοίης, ἢ ἐκ φαρμακοποσίης ἐόντι, ἢ μὴ εἰθισμένῳ οὕτω καθεύδειν, φλαῦρον τὸ σημήϊον, καὶ θανατῶδες λίην.

ιβ. Ην δὲ καμπύλον, ἢ ῥικνότερον γένηται, ἢ πελιὸν, ἢ ὠχρὸν βλέφαρον, ἢ χεῖλος, ἢ ῥὶς, μετά τινος τῶν ἄλλων σημηΐων, εἰδέναι χρὴ, ἐγγὺς ἐόντα θανάτε.

ιγ. Θανατῶδες δὲ καὶ τὰ χείλεα ἀπολυόμενα, καὶ κρεμασμένα, καὶ ψυχρὰ, καὶ ἔκλευκα γινόμενα.

ιδ. Κεκλιμένον δὲ χρὴ καταλαμβάνεσθαι τὸν νοσεῦντα ὑπὸ τῆ ἰητρῆ, ἐπὶ τὸ πλευρὸν τὸ δεξιὸν, ἢ τὸ ἀριστερὸν, καὶ τὰς χεῖρας καὶ

faciei color immutatus, hæc omnia mala, perniciosaque existimanda.

11. Quinetiam per somnos oculorum subapparitiones spectare oportet. Ubi namque ex albo quid subapparet non commissis palpebris, id si neque ex alvi profluvio, neque ex medicamento purgante fuerit, aut non ita dormire consueverit æger, pravum est indicium et lethale admodum.

12. Quod si pervertatur, aut corrugetur palpebra, aut livescat, aut pallescat, itemque labrum, aut nasus, cum aliquo ex aliis signis, morti proximum esse sciendum est.

13. Lethale quoque labra resoluta, pendentia, frigida, et exalbida esse.

14. At ægrum a Medico in latus dextrum aut sinistrum recumbentem deprehendi oportet, brachiisque et cervice,

τὸν τράχηλον, καὶ τὰ σκέλεα ὀλίγον ἐπικεκαμμένα ἔχοντα, καὶ τὸ ξύμπαν σῶμα ὑγρὸν κείμενον. οὕτω γὰρ καὶ οἱ πλεῖστοι τῶν ὑγιαινόντων κατακλίνονται. ἄρισται δέ εἰσι τῶν κατακλίσεων, αἱ ὁμοιόταται τῇσι τῶν ὑγιαινόντων.

ιε. Ὕπτιον δὲ κεῖσθαι καὶ τὰς χεῖρας, καὶ τὸν τράχηλον, καὶ τὰ σκέλεα ἐκτεταμένα ἔχοντα, ἧσσον ἀγαθόν.

ιϛ. Εἰ δὲ καὶ προπετὴς γένοιτο, καὶ καταῤῥέοι ἀπὸ τῆς κλίνης ἐπὶ τοὺς πόδας, δεινότερόν ἐστι.

ιζ. Εἰ δὲ καὶ γυμνοὺς τοὺς πόδας εὑρίσκοιτο ἔχων, μὴ θερμοὺς κάρτα ἐόντας, καὶ τὰς χεῖρας, καὶ τὸν τράχηλον, καὶ τὰ σκέλεα ἀνωμάλως διεῤῥιμμένα, καὶ γυμνὰ, κακόν· ἀλυσμὸν γὰρ σημαίνει.

ιη. Θανατῶδες δὲ, καὶ τὸ κεχηνότα καθεύδειν αἰεὶ, καὶ τὰς χεῖρας καὶ τὰ σκέλεα ὕπτιος κειμένου ξυγκεκαμμένα εἶναι ἰσχυρῶς, καὶ διαπεπλιγμένα.

ac cruribus modice inflexis, totoque corpore molliter posito. Ita enim plurimi ex sanis decumbunt. Optimi autem habentur decubitus, qui bene valentium maxime similes sunt.

15. Supinum vero jacere, et brachiis, et cervice, et cruribus extentis, minus bonum.

16. Quod si prociduus sit, et ad pedes de lecto delabatur, magis formidandum est.

17. Ubi vero pedes quoque nudos, neque admodum calidos habere comperietur, et brachia, cervicem, et crura inæqualiter disjecta et nuda, malum; anxietatem enim indicat.

18. Lethale quoque et hianti ore assidue dormire, brachia et crura supini jacentis valde contracta esse, et longe a se invicem divulsa.

ιθ. Επὶ γαστέρα δὲ κεῖσθαι, ᾧ μὴ ξύνηθές ἐστι καὶ ὑγιαίνοντι ὅτω κοιμᾶσθαι, παραφροσύνην σημαίνει, ἢ ὀδύνην τινὰ τῶν ἀμφὶ τὴν κοιλίην τόπων.

κ. Ανακαθίζειν δὲ βούλεσθαι τὸν νοσεῦντα τῆς νόσου ἀκμαζούσης, πονηρὸν μὲν ἐν πᾶσι τοῖσιν ὀξέσι νοσήμασι· κάκιστον δὲ, ἐν τοῖσι περιπλευμονικοῖσι.

κα. Οδόντας δὲ πρίειν ἐν πυρετοῖσι, ὁκόσοισι μὴ ξύνηθές ἐστιν ἀπὸ παιδίων, μανικὸν καὶ θανατῶδες, ἀλλὰ προλέγειν ἀπὸ ἀμφοῖν κίνδυνον ἐσόμενον. ἢν δὲ καὶ παραφρονέων τοῦτο ποιέῃ, ὀλέθριον κάρτα γίνεται ἤδη.

κβ. Ελκος δὲ ἤν τε καὶ προγεγονὸς τύχῃ ἔχων, ἤν τε καὶ ἐν τῇ νούσῳ γένηται καταμανθάνειν. ἢν γὰρ μέλλῃ ἀπόλλυσθαι ὥνθρωπος, πρὸ τοῦ θανάτου πελιδνὸν καὶ ξηρὸν ἔσται, ἢ ὠχρόν τε καὶ ξηρόν.

19. At in ventrem jacere ei qui per bonam valetudinem ita dormire non consuevit, delirium, aut aliquem partium circa ventrem dolorem indicat.

20. Ægrum vero residere velle in ipso morbi vigore, pravum quidem in omnibus morbis acutis, pessimum vero in iis qui pulmonum inflammatione laborant.

21. In febribus autem dentibus stridere, quibus a pueris non est consuetum, insaniam et mortem significat. Verum ex utrisque periculum futurum prædicito. Quod si etiam delirans hoc faciat, exitiale admodum jam est.

22. Ulcus quoque, sive prius ortum fuerit, sive in ipso morbo accesserit, animadvertito. Nam si periturus æger est, ante mortem lividum et siccum, aut etiam pallidum et siccum ulcus erit.

κγ. Περὶ δὲ χειρέων φορῆς, τάδε γινώσκειν. ὁκόσοισιν ἐν πυρετοῖσιν ὀξέσιν, ἢ περιπλευμονίῃσιν, ἢ ἐν φρενίτισι, ἢ καὶ ἐν κεφαλαλγίῃσι, πρὸ τοῦ προσώπου φερομένας καὶ θηρευούσας διὰ κενῆς, καὶ ἀποκαρφολογεούσας, καὶ κροκίδας ἀπὸ τῶν ἱματίων ἀποτιλλούσας, καὶ ἀπὸ τοῦ τοίχου ἄχυρα ἀποσπώσας, πάσας εἶναι κακὰς, καὶ θανατώδεας.

κδ. Πνεῦμα δὲ πυκνὸν μὲν ἐὸν, πόνον σημαίνει, ἢ φλεγμονὴν ἐν τοῖσι ὑπὲρ τῶν φρενῶν χωρίοισι. μέγα δὲ ἀναπνεόμενον καὶ διὰ πολλοῦ χρόνου, παραφροσύνην δηλοῖ. ψυχρὸν δὲ ἐκπνεόμενον ἐκ τῶν ῥινῶν, καὶ τοῦ στόματος, ὀλέθριον κάρτα ἤδη γίνεται..

κε. Εὔπνοιαν δὲ χρὴ νομίζειν κάρτα μεγάλην δύναμιν ἔχειν ἐς σωτηρίην ἐν ἅπασι τοῖσιν ὀξέσι νουσήμασι, ὅσα ξὺν πυρετοῖσιν ἐστὶ, καὶ ἐν τεσσαρήκοντα ἡμέρῃσι κρίνεται.

23. De brachiorum vero motione hæc noscito. In febribus acutis, aut pulmonum inflammationibus, aut phrenitide, aut capitis doloribus, si manus ante faciem feruntur, et aliquid frustra venantur, et festucas colligunt, aut floccos e vestibus evellunt, et ex pariete paleas carpunt, omnes hæ motiones malæ et lethales sunt.

24. Spiritus frequens dolorem significat, aut inflammationem, in locis septo transverso superioribus: qui vero magnus inspiratur et ex magno intervallo, delirium indicat. At frigidus ex naribus et ore exspiratus, exitialis admodum jam est.

25. Facile autem spirare, valde magnam ad salutem vim habere existimandum, in omnibus morbis acutis, quibus febris conjuncta est, et in his qui intra dies quadraginta judicantur.

κϛ. Οἱ ἱδρῶτες, ἄριστοι μέν εἰσιν ἐν πᾶσι τοῖσιν ὀξέσι νουσήμασι, ὁκόσοι ἂν ἐν ἡμέρῃσι τε κρισίμοισι γίνωνται, καὶ τελείως τοῦ πυρετοῦ ἀπαλλάξωσι· ἀγαθοὶ δὲ καὶ ὁκόσοι διὰ παντὸς τοῦ σώματος γινόμενοι, ἀπέδειξαν τὸν ἄνθρωπον εὐπετέστερον φέροντα τὸ νούσημα. οἳ δὲ ἂν μὴ τοιοῦτόν τι ἐργάσωνται, οὐ λυσιτελέες. κάκιστοι δὲ, οἱ ψυχροί τε καὶ μοῦνον περὶ τὴν κεφαλὴν καὶ τὸ πρόσωπον γινόμενοι καὶ τὸν αὐχένα. οὗτοι γὰρ ξὺν μὲν ὀξέϊ πυρετῷ θάνατον προσημαίνουσι, ξὺν δὲ πρηϋτέρῳ, μῆκος νούσου· καὶ οἱ κατὰ πᾶν τὸ σῶμα ὡσαύτως γινόμενοι, τοῖσι περὶ τὴν κεφαλήν. οἱ δὲ κεγχροειδέες, καὶ μοῦνοι περὶ τὸν τράχηλον γινόμενοι, πονηροί. οἱ δὲ μετὰ σταλαγμῶν καὶ ἀτμίζοντες, ἀγαθοί. καταναεῖν δὲ χρὴ τὸ ξύνολον τῶν ἱδρώτων. γίνονται γὰρ οἱ μὲν διὰ ἔκλυσιν, οἱ δὲ διὰ ξυντονίην φλεγμονῆς.

26. Sudores optimi quidem in omnibus morbis acutis, qui diebus judicatoriis contingunt, et perfecte febre liberant. Boni sunt quoque qui toto corpore oriuntur, faciuntque ut æger morbum facilius ferre videatur. At, qui nihil tale efficiunt, minime sunt utiles. Pessimi autem frigidi, quique circa caput tantummodo, faciem et cervicem exoriuntur: ii namque cum acuta febre mortem, cum mitiore vero morbi longitudinem prænunciant. Quique per totum corpus, eodem modo atque ex capite fiunt, mali. Qui vero milii formam referunt, et circa cervicem tantum oboriuntur, pravi: qui autem guttatim stillant et evaporant, boni sunt. Considerare etiam convenit sudores in universum: fiunt enim nonnulli quidem ex virium defectione, quidam etiam ex inflammationis vehementiâ.

κζ. Ὑποχόνδριον δὲ, ἄριστον μὲν, ἀνώδυνόν τε ἐὸν, καὶ μαλθακὸν, καὶ ὁμαλὸν, καὶ ἐπὶ δεξιὰ, καὶ ἐπὶ ἀριστερά. φλεγμαῖνον δὲ, ἢ ὀδύνην παρέχον, ἢ ἐντεταμένον, ἢ ἀνωμάλως διακείμενα τὰ δεξιὰ πρὸς τὰ ἀριστερὰ, ταῦτα ἅπαντα φυλάσσεσθαι χρή.

κη. Ἢν δὲ καὶ σφυγμὸς ἐνείη ἐν τῷ ὑποχονδρίῳ, θόρυβον σημαίνει, ἢ παραφροσύνην. ἀλλὰ τοὺς ὀφθαλμοὺς ἐπικαλιδεῖν τῶν τοιούτων. ἢν γὰρ αἱ ὄψεες πυκνὰ κινέωνται, μανῆναι τούτους ἐλπίς.

κθ. Οἴδημα δὲ ἐν τῷ ὑποχονδρίῳ σκληρόν τε ἐὸν, καὶ ἐπώδυνον, κάκιστον μὲν, εἰ παρὰ ἅπαν εἴη τὸ ὑποχόνδριον· εἰ δὲ καὶ εἴη ἐν τῷ ἑτέρῳ μέρει, ἀκινδυνώτερόν ἐστιν ἐν τῷ ἐπ' ἀριστερά.

λ. Σημαίνει δὲ τὰ τοιαῦτα οἰδήματα, ἐν ἀρχῇ μὲν, θάνατον ὀλιγοχρόνιον ἔσεσθαι.

27. Hypochondrium optimum quidem quod dolore vacat, molle est et æquale, tum dextra, tum sinistra parte. Inflammatum vero, aut dolens, aut intentum, aut inæqualiter affectum dextra parte ac sinistra, suspectum haberi debet.

28. Quod si etiam pulsus in hypochondrio insit, perturbationem aut delirium indicat. Verum etiam eorum, qui sic affecti sunt oculos intueri oportet. Si namque oculi crebro moveantur, furiosos hos fore expectandum est.

29. At tumor in hypochondrio durus et dolens, pessimus quidem si per totum fuerit hypochondrium : sin vero in altera parte sit, minus periculosus est in sinistra.

30. Hujusmodi autem tumores, circa principia quidem, mortem brevi affore indicant.

λα. Ην δὲ ὑπερβάλλῃ εἴκοσι ἡμέρας ὅ, τε πυρετὸς ἔχων, καὶ τὸ οἴδημα μὴ καθιςάμενον, ἐς διαπύησιν τρέπεται.

λβ. Γίνεται δὲ τουτέοισιν ἐν τῇ πρώτῃ περιόδῳ, καὶ αἵματος ῥῆξις ἐκ τῶν ῥινῶν, καὶ κάρτα ὠφελέει. ἀλλὰ ἐπανερωτᾶν χρὴ, εἰ τὴν κεφαλὴν ἀλγέουσιν, ἢ ἀμβλυωπέουσιν. ἢν γὰρ τι τοιουτέων εἴη, ἐνταῦθα ἂν ῥέποι.

λγ. Μᾶλλον δὲ τοῖσι νεωτέροισι πέντε καὶ τριήκοντα ἐτέων, τὴν τοῦ αἵματος ῥῆξιν προσδέχεσθαι, τοῖσι γεραιτέροισι δὲ ἐκπύησιν.

λδ. Τὰ δὲ μαλθακὰ τῶν οἰδημάτων, καὶ ἀνώδυνα, καὶ τῷ δακτύλῳ ὑπείκοντα, χρονιωτέρας τὰς κρίσεας ποιέεται, καὶ ἧσσον ἐκείνων δεινότερά ἐστι.

λε. Εἰ δὲ ὑπερβάλλοι ἑξήκοντα ἡμέρας ὅ, τε πυρετὸς ἔχων, καὶ τὸ οἴδημα μὴ καθίςαται, ἔμπυον ἔσεσθαι σημαίνει· καὶ τοῦτο καὶ τὸ ἐν τῇ ἄλλῃ κοιλίῃ κατὰ τὸ αὐτό.

31. Quod si neque intra vigesimum diem febris quiescat, neque tumor subsidat, ad suppurationem convertitur.

32. His autem primo circuitu etiam sanguinis e naribus eruptio contingit, valdeque juvat. Eos vero interrogare oportet, num capite doleant, aut hebetem visum habeant. Quod si quid ex his acciderit, eo fertur sanguis.

33. In junioribus tamen neque dum trigesimum-quintum annum attingentibus, sanguinis eruptionem magis expectato, senioribus vero suppurationem.

34. Molles autem tumores et doloris expertes, digitisque cedentes, longiores judicationes faciunt, illisque minus graves sunt.

35. Quod si intra dies sexaginta, neque febris cesset, neque tumor subsidat, fore suppurationem hoc loco, et reliquo ventre eodem modo, significat.

λϛ. Ὁκόσα μὲν ὦν ἐπώδυνά τε ἐςὶ, καὶ σκληρὰ καὶ μεγάλα, σημαίνει κίνδυνον θανάτε ὀλιγοχρονίε ἔσεσθαι. ὁκόσα δὲ μαλθακά τε, καὶ ἀνώδυνα, καὶ τῷ δακτύλῳ πιεζόμενα ὑπείκει, χρονιώτερα ἐκείνων.

λζ. Τὰς δὲ ἀποςάσιας ἧσσον τὰ ἐν τῇ γαςρὶ οἰδήματα ποιέεται, τῶν ἐν τοῖσι ὑποχονδρίοισι· ἥκιςα δὲ τὰ ὑποκάτω τε ὀμφαλε ἐς ἀποπύησιν τρέπεται. αἷματος δὲ ῥῆξιν ἐκ τῶν ἄνω τόπων μάλιςα προσδέχεσθαι.

λη. Απάντων δὲ χρὴ τῶν οἰδημάτων χρονιζόντων τῶν περὶ ταῦτα τὰ χωρία, ὑποσκέπτεσθαι τὰς ἐκπυήσεας.

λθ. Τὰ δὲ διαπυήματα ὧδε χρὴ σκέπτεσθαι τὰ ἐντεῦθεν. ὁκόσα μὲν ἔξω τρέπεται, ἄριςά ἐςι, σμικρά τε ἐόντα, καὶ ὡς μάλιςα ἐκκλίνοντα ἔξω, καὶ ἐς ὀξὺ ἀποκορυφεόμενα. τάδε

36. Itaque tumores dolentes, duri et magni, periculum mortis intra paucos dies affore significant. Molles vero et minime dolentes, quique digito pressi cedunt, illis diuturniores esse solent.

37. Ac ventris tumores minus abscessum faciunt, quam qui in hypochondriis oriuntur, minime vero qui infra umbilicum sunt in suppurationem vertuntur. Sed ex superioribus locis sanguinis eruptio maxime exspectanda est.

38. Omnium vero tumorum, qui diutius permanent in his regionibus, suppurationes in considerationem adhibendæ.

39. Suppurationes autem quæ hinc fiunt, hoc modo considerandæ. Quæ quidem foras vertuntur, optimæ sunt, ubi parvæ sunt, et quam maxime foras feruntur, et in acutum tendunt. Pessimæ vero quæ

μεγάλα τε ἐόντα καὶ πλατέα, καὶ ἥκιστα ἐς ὀξὺ ἀποκορυφεόμενα, κάκιστα.

μ. Οκόσα δὲ ἔσω ῥήγνυται, ἄριστά ἐστι, ἃ μηδὲν τῷ ἔξω χωρίῳ ἐπικοινωνέει, ἀλλά ἐστι προσεσταλμένα τε, καὶ ἀνώδυνα, καὶ πᾶν τὸ ἔξω χωρίον ὁμόχροον φαίνεται.

μα. Τὸ δὲ πῦον, ἄριστον λευκόν τε εἶναι, καὶ ὁμαλὸν, καὶ λεῖον, καὶ ἥκιστα δυσῶδες. τὸ δὲ ἐναντιώτατον τούτῳ, κάκιστον.



magna

magnæ sunt et latæ, minimeque in mucronem attolluntur.

40. At quæ intro rumpuntur optimæ, quæ nihil cum externa sede communicant, sed sunt contractæ, et sine dolore, et ubi tota regio externa unius coloris apparet.

41. Pus vero optimum est album, æquale et læve, et quam minimum graveolens; huic autem maxime contrarium, pessimum.



ΤΜΗΜΑ ΔΕΥΤΕΡΟΝ.

Α

Οἱ δὲ ὕδρωπες, οἱ ἐκ τῶν ὀξέων νοσημάτων γενόμενοι, ἅπαντες κακοί· οὔτε γὰρ τοῦ πυρὸς ἀπαλλάσσουσιν, ἐπώδυνοί τε εἰσὶ κάρτα καὶ θανατώδεες. ἄρχονται δὲ οἱ πλεῖστοι μὲν, ἀπὸ τῶν κενεώνων, καὶ τῆς ὀσφύος· οἱ δὲ καὶ ἀπὸ τοῦ ἥπατος.

β. Οἷσι μὲν οὖν ἀπὸ τῶν κενεώνων, καὶ τῆς ὀσφύος αἱ ἀρχαὶ γίνονται τῶν ὑδρώπων, οἵτε πόδες οἰδέουσι, καὶ διάῤῥοιαι πολυχρόνιοι ἴσχουσιν, οὔτε τὰς ὀδύνας λύουσαι τὰς ἐκ τῶν κενεώνων τε, καὶ τῆς ὀσφύος, οὔτε τὴν γαστέρα λαπάσσουσαι.

γ. Οκόσοισι δὲ ἀπὸ τοῦ ἥπατος ὕδρωπες γίνονται, βῆξαι τὲ ἐγγίνεται τελέοισι θυμὸς, καὶ

SECTIO SECUNDA.

I.

HYDROPES porro quæ ex acutis morbis oriuntur, malæ: nam neque febre liberant, vehementesque dolores excitant, et lethales sunt. Oriuntur autem pleræque ex laterum inanitate et lumbis, partim etiam et ex jecore.

2. Quibus igitur ex laterum inanitate et lumbis initia hydropum ducuntur, iis pedes intumescunt, et longa alvi profluvia detinent, quæ neque dolores ex laterum inanitate ac lumbis tollunt, neque ventrem molliorem efficiunt.

3. Quibus vero a jecore hydropes ortum ducunt, his etiam tussiendi cupiditas acci-

ἐδὲν τι ἀποσιύεσιν ἄξιον λόγε, καὶ οἱ πόδες οἰδέεσι, καὶ ἡ γαστὴρ ἐ διαχωρέει, εἰ μὴ σκληρά τε καὶ πρὸς ἀνάγκην, ἢ περὶ τὴν κοιλίην γίνεται οἰδήματα, τὰ μὲν ἐπὶ δεξιὰ, τὰ δὲ ἐπὶ ἀριστερὰ, ἰσάμενά τε καὶ καταπαυόμενα.

δ. Κεφαλὴ δὲ καὶ χεῖρες καὶ πόδες, ψυχρὰ ἐόντα, κακὸν, τῆς τε κοιλίης καὶ τῶν πλευρέων θερμῶν ἐόντων.

ε. Αριστον δὲ καὶ ἅπαν τὸ σῶμα θερμόν τε ἐὸν καὶ μαλθακὸν ὁμαλῶς.

ς. Στρέφεσθαι δὲ χρὴ ῥηιδίως τὸν ἀλγέοντα καὶ ἐν τοῖσι μετεωρισμοῖσιν ἐλαφρὸν εἶναι. εἰ δὲ βαρὺς ἐὼν φαίνοιτο, καὶ τὸ ἄλλο σῶμα καὶ τὰς χεῖρας καὶ τὰς πόδας, ἐπικινδυνότερον.

ζ. Εἰ δὲ καὶ πρὸς τῷ βαρεῖ τοῦ σώματος οἱ ὄνυχες καὶ οἱ δάκτυλοι πελιδνοὶ γίνονται, προσδόκιμος ὁ θάνατος αὐτίκα.

dit, sed nihil effatu dignum exspuunt, pedesque intumescunt, ac venter non nisi dura ægreque egerit, et circa alvum tumores fiunt, qui partim dextra, partim sinistra parte oriuntur et desinunt.

4. Caput autem, et brachia, et pedes frigere, ventre et lateribus calentibus, malum denunciat.

5. At corpus totum calidum esse æqualiter ac molle, optimum.

6. Ægrum quoque facile converti oportet, et cum sese attollit levem esse. Quod si gravis esse videatur, cum reliquo corpore, tum brachiis et pedibus, magis periculosum est.

7. Præter gravitatem vero corporis, si ungues et digiti livescant, mors confestim spectanda est.

η. Μελαινόμενοι δὲ παντελῶς οἱ δάκτυλοι, καὶ οἱ πόδες, ἧσσον ὀλέθριοι τῶν πελιδνῶν εἰσι. ἀλλὰ καὶ τὰ ἄλλα σημήϊα σκέπτεσθαι χρή. ἢν γὰρ εὐπετέως φέρων φαίνηται τὸ κακὸν, ἢ καὶ ἄλλό τι τῶν περιεστηκότων πρὸς τουτέοισι σημηίων ὑποδεικνύῃ, τὸ νούσημα ἐς ἀπόστασιν τραπῆναι ἐλπίς· ὥστε τὸν μὲν ἄνθρωπον περιγενέσθαι, τὰ δὲ μελανθέντα τοῦ σώματος ἀποπεσεῖν.

θ. Ὄρχιες δὲ καὶ αἰδοῖα ἀνεσπασμένα, πόνους ἰσχυροὺς σημαίνει, καὶ κίνδυνον θανατώδεα.

ι. Περὶ δὲ ὕπνων, ὥσπερ καὶ κατὰ φύσιν ξύνηθες ἡμῖν ἐστι, τὴν μὲν ἡμέρην ἐγρηγορέναι χρὴ, τὴν δὲ νύκτα καθεύδειν. ἢν δὲ εἴη τοῦτο μεταβεβλημένον, κάκιον. ἥκιστα δὲ ἂν λυπέοιτο, εἰ κοιμῷτο τὸ πρωῒ ἐς τὸ τρίτον μέρος τῆς ἡμέρης. οἱ δὲ ἀπὸ τουτέου τοῦ χρόνου ὕπνοι, πονηρότεροί εἰσί.

8. At omnino nigri tum digiti, tum pedes, minus quam liventes periculosi sunt. Sed alia quoque signa in considerationem adhibenda. Etenim si facile malum ferre videatur, aut etiam præter hæc aliud quoddam ex salutaribus signis adfuerit, morbum ad abscessum converti sperandum, ita ut æger quidem superstes mansurus sit, partes vero corporis denigratæ sint decisuræ.

9. Testes autem et pudenda sursum revulsa, vehementes dolores, et mortis periculum denunciant.

10. Quod ad somnos attinet, quemadmodum a natura nobis est consuetum, interdiu vigilare oportet, noctu vero dormire. Quod si istud immutatum fuerit, deterius existimandum. At minimum offendi poterit æger, si prima luce dormiat ad tertiam diei partem. Qui vero ab hoc tempore somni fiunt, deteriores sunt.

ια. Κάκιστον δὲ μὴ κοιμᾶσθαι, μήτε τῆς νυκτὸς, μήτε τῆς ἡμέρης. ἢν γὰρ ὑπὸ ὀδύνης τε καὶ πόνων ἀγρυπνοίη, παραφροσύνη ἔσαι ἀπὸ τέλεε τε σημηΐε.

ιβ. Διαχώρημα δὲ ἄριστον μέν ἐστι, τὸ μαλθακόν τε καὶ ξυνεστηκὸς, καὶ τὴν ὥρην ἥνπερ καὶ ὑγιαίνοντι διεχώρεε· πλῆθος δὲ πρὸς λόγον τῶν ἐσιόντων· τοιαύτης γὰρ ἐούσης τῆς διεξόδε, ἡ κάτω κοιλίη ὑγιαίνοι ἄν.

ιγ. Ην δὲ εἴη ὑγρὸν τὸ διαχώρημα, ξυμφέρει μήτε τρύζειν, μήτε πυκνόν τι εἶναι, κὴ κατὰ ὀλίγον διαχωρέειν. κοπιῶν γὰρ ἄνθρωπος, ὑπὸ τῆς ξυνεχέος ἐξαναστάσεως, ἀγρυπνοίη ἄν· εἰ δὲ ἀθρόον πολλάκις διαχωρέοι, κίνδυνος λειποθυμῆσαι.

ιδ. Αλλὰ χρὴ κατὰ τὸ πλῆθος τῶν ἐσιόντων, ἢ ἅπαξ, ἢ δὶς, ἢ τρὶς τῆς ἡμέρης ὑποχωρέειν,

11. Pessimum autem neque noctu, neque interdiu dormire. Nam si præ dolore, aut laboribus vigiliæ adsint, delirium affuturum fore signum est.

12. Alvi vero dejectio optima est, si mollis est et consistat, eoque tempore fiat quo per sanitatem dejici solebat, copia vero ciborum ingestorum rationi responderit: tali enim contingente exitu, inferior alvus sanus fuerit.

13. Si vero liquida fuerit egestio, conducit neque stridere, neque frequenter, neque ex brevibus intervallis excerni. Frequente enim desidendi labore ægro fatigato, ei insomnia aderit. Quod si affatim et sæpe dejicit, periculum est ne animus deficiat.

14. Verum pro ingestotum ciborum copia, aut semel, aut bis, aut ter interdiu,

τῆς δὲ νυκτὸς ἅπαξ· πλέον δὲ ὑπὸ τὸ πρωΐ, ὥσπερ ξύνηθες ἦν τῷ ἀνθρώπῳ.

ιε. Παχύνεσθαι δὲ χρὴ τὸ διαχώρημα, πρὸς τὴν κρίσιν τῆς νόσου ἰούσης. ὑπόπυῤῥον δὲ ἔστω, καὶ μὴ λίην δυσῶδες.

ιϛ. Επιτήδειον δὲ καὶ ἕλμινθας στρογγύλας διεξιέναι μετὰ τοῦ διαχωρήματος, πρὸς τὴν κρίσιν τῆς νόσου ἰούσης.

ιζ. Δεῖ δὲ ἐν ἅπαντι τῷ νοσήματι, λαπαρὴν τὴν κοιλίην εἶναι, καὶ εὔογκον.

ιη. Υδαρὲς δὲ κάρτα, ἢ λευκὸν, ἢ χλωρὸν, ἢ ἐρυθρὸν ἰσχυρῶς, ἢ ἀφρῶδες διαχωρέειν, πονηρὰ ταῦτα ἅπαντα.

ιθ. Ετι δὲ πονηρὸν, καὶ σμικρὸν τε ἐὸν, καὶ γλίσχρον; καὶ λευκὸν, καὶ ὑπόχλωρον, καὶ λεῖον.

et noctu semel, dejici debet, plus tamen prima luce, prout erat ægroto consuetudo.

15. Crassiorem autem fieri dejectionem oportet, morbo ad judicationem procedente. Sit etiam subfulva, neque admodum graveolens.

16. Lumbricos quoque rotundos cum alvi excretione prodire, morbo ad judicationem tendente, expedit.

17. Oportet autem in omni morbo ventrem mollem esse, et justa mole præditum.

18. At valde aquosum, aut album, aut ex viridi pallidum, aut vehementer rubrum, aut spumans dejici stercus, hæc omnia mala sunt.

19. Præter hæc quoque malum est, quod exiguum, glutinosum, candidum, ex viridi subpallidum, et læve, existit.

κ. Τελέων δὲ θανατωδέστερα ἂν εἴη, τὰ μέλαινα, ἢ λιπαρὰ, ἢ πέλια, ἢ ἰώδεα, καὶ κάκοδμα.

κα. Τὰ δὲ ποικίλα, χρονιώτερα μὲν τελέων, ὀλέθρια δὲ οὐδὲν ἧσσον. ἔστι δὲ ἅπαντα ταῦτα, ξυσματώδεα, καὶ χολώδεα, καὶ αἱματώδεα, καὶ πρασοειδέα, καὶ μέλανα, ποτὲ μὲν ὁμοῦ διεξερχόμενα, ποτὲ δὲ κατὰ μέρος.

κβ. Φῦσαν δὲ ἄνευ ψόφου μὲν καὶ περδήσιος διεξιέναι, ἄριστον. κρέσσον δὲ καὶ ξὺν ψόφῳ διελθεῖν, ἢ αὐτοῦ ἐναπειλῆφθαι· καίτοι οὕτω διελθοῦσα σημαίνει ἢ πονέειν τι τὸν ἄνθρωπον, ἢ παραφρονέειν, ἢν μὴ ἑκὼν ὁ ἄνθρωπος οὕτω ποιέηται τὴν ἄφεσιν τῆς φύσης.

κγ. Τοὺς δὲ ἐκ τῶν ὑποχονδρίων πόνους τε καὶ τὰ κυρτώματα, ἢν ἔῃ νεαρὰ καὶ μὴ ξὺν φλεγμονῇ, λύει βορβορυγμὸς ἐγγενόμενος ἐν τῷ ὑποχονδρίῳ καὶ μάλιστα μὲν διεξιὼν ξὺν κόπρῳ

20. His vero magis lethalia sunt nigra, aut pinguia, aut livida, aut æruginosa, et fœtida.

21. Varia autem, his quidem sunt diuturniora, nihilo tamen minus exitialia. Hæc vero omnia sunt strigmentosa, biliosa, cruenta, porracea et nigra, modo simul mixta, modo seorsum prodeuntia.

22. Flatum porro sine sonitu ac crepitu exire optimum. Melius autem est cum sonitu prodire, quam istic detineri. Attamen si sic prodierit, ægrum aliquo dolore vexari, aut delirare indicat, nisi æger sua sponte hoc modo flatum emiserit.

23. At præcordiorum dolores et tumores, si fuerint recentes et sine inflammatione, murmur solvit in hypocondrio exortum, idque potissimum, si cum

τὲ καὶ ἔρῳ καὶ φύσῃ, ἢν δὲ μὴ, καὶ αὐλὸς διαπεραιωθεὶς, ὠφελέει· ὠφελέει δὲ καὶ ὑποκαθαίρειν ἐς τὰ κάτω χωρία.

κδ. Οὖρον δὲ ἄριστόν ἐστι, ὅταν ἔῃ λευκή τε ἡ ὑπόστασις, καὶ λείη, καὶ ὁμαλὴ παρὰ ἅπαντα τὸν χρόνον, ἔστ' ἂν κριθῇ ἡ νοῦσος· σημαίνει γὰρ ἀσφαλείην τε, καὶ τὸ νόσημα ὀλιγοχρονιώτερον ἔσεσθαι. εἰ δὲ διαλείποι, καὶ ποτὲ μὲν καθαρὸν οὐρέοιτο, ποτὲ δὲ ὑφίσταιτο τὸ λευκὸν, καὶ λεῖον, χρονιωτέρη γίνεται ἡ νοῦσος, καὶ ἧσσον ἀσφαλής.

κε. Εἰ δὲ εἴη τὸ, τε οὖρον ὑπέρυθρον, καὶ ἡ ὑπόστασις ὑπέρυθρός τε, καὶ λείη, πολυχρονιώτερον μὲν τοῦτο τοῦ πρώτου γίνεται, σωτήριον δὲ κάρτα.

κϛ. Κριμνώδεες δὲ ἐν τοῖσιν οὔροισι αἱ ὑποστάσιες, πονηραί. τούτων δέ εἰσι κακίους, αἱ

stercore, urina et flatu, prodierit; quod si non contingat, etiam ubi ipsum per se transmissum fuerit, juvat; idque magis si ad inferiores sedes descenderit.

24. Urina vero optima est, cujus sedimentum fuerit album, læve et æquale, per omne tempus, quoad morbus judicatus fuerit: securitatem enim, breviorемque morbum fore significat. Quod si intermiserit, et interdum quidem pura meiatur, interdum etiam subsideat album et læve, diuturnior et minus securus morbus evadit.

25. Si vero fuerit urina subrubra, et sedimentum subrubrum et læve, hæc longe quidem diuturniorem quam prima morbum indicat, valde tamen salutarem.

26. Sedimenta autem in urinis crassiores hordei tosti non exacte moliti partes

πεταλώδεες· λεπταὶ δὲ καὶ λευκαὶ, κάρτα φλαῦραι· τελέων δ' ἔτι κακίες εἰσὶ, αἱ πιτυρώδεες.

κζ. Νεφέλαι δὲ ἐναιωρεύμεναι τοῖσιν ὕροισι, λευκαὶ μὲν ἀγαθαὶ, μέλαιναι δὲ φλαῦραι.

κη. Εςτ' ἂν δὲ πυῤῥόν τε ἔῃ τὸ ὖρον καὶ λεπτὸν, σημαίνει τὸ νόσημα ἄπεπτον εἶναι.

κθ. Ην δὲ καὶ πολυχρόνιον εἴη τὸ νόσημα, τὸ δὲ ὖρον τοιοῦτον ἐὸν, κίνδυνος μὴ οὐ δυνήσηται ὁ ἄνθρωπος διαρκέσαι, ἔςτ' ἂν πεπανθῇ τὸ ὖρον.

λ. Θανατωδέςερα δὲ τῶν ὕρων ἐςὶ, τά τε δυσώδεα, καὶ ὑδατώδεα, καὶ μέλανα, καὶ παχέα.

λα. Εςὶ δὲ τοῖσι μὲν ἀνδράσι καὶ τῇσι γυναιξὶ, τὰ μέλανα τῶν ὕρων, κάκιςα, τοῖσι δὲ παιδίοισι, τὰ ὑδατώδεα.

λβ. Οκόσοι δὲ ἂν ὖρα λεπτὰ καὶ ὠμὰ οὐρέωσι πουλὺν χρόνον, ἢν τὰ ἄλλα σημήια ὡς

referentia, prava sunt; his vero pejora laminis similia: tenuia et alba, valde prava; atque his etiam deteriora, furfuracea.

27. Nubeculæ per urinas suspensæ, albæ quidem, bonæ; nigræ vero, malæ sunt.

28. Quoad autem urina fulva fuerit et tenuis, crudum esse morbum indicat.

29. Quod si diuturnus morbus sit, et talis urina perseveret, periculum est ne non possit æger sufficere, quoad urina concoquatur.

30. Exitiosiores vero sunt urinæ fœtidæ et aquosæ, nigræ et crassæ.

31. At in viris quidem et mulieribus urinæ nigræ, in pueris autem aquosæ, deterrimæ sunt.

32. Iis vero qui urinas tenues et crudas multo tempore meiunt, si reliqua signa

περιεχομένοισιν ἔῃ, τελέοισιν ἀπόστασιν δεῖ προσδέχεσθαι ἐς τὰ κάτω τῶν φρενῶν χωρία.

λγ. Καὶ τὰς λιπαρότητας δὲ τὰς ἄνω ἐφισταμένας ἀραχνοειδέας μέμφεσθαι, ξυντήξεος γὰρ σημήϊα.

λδ. Σκοπέειν δὲ χρὴ τῶν οὔρων ἐν οἷσι αἱ νεφέλαι ξυνίστανται, ἤν τε ἄνω, ἤν τε κάτω ἔωσι, καὶ τὰ χρώματα ὁκοῖα ἴσχωσι. καὶ τὰς μὲν κάτω φερομένας ξὺν τοῖσι χρώμασι, οἷσιν εἴρηται, ἀγαθὰς εἶναι νομίζειν, καὶ ἐπαινέειν, τὰς δὲ ἄνω ξὺν τοῖσι χρώμασι, οἷσιν εἴρηται, κακὰς εἶναι, καὶ μέμφεσθαι.

λε. Μὴ ἐξαπατάτω δέ σε, ἤν τοι αὕτη ἡ κύστις νόσημα ἔχουσα, τῶν οὔρων τὰ ἀποδῷ τοιαῦτα· οὐ γὰρ τοῦ ὅλου σώματος σημήϊον ἐστὶν, ἀλλ' αὐτῆς καθ' ἑωϋτῆς.

λς. Ἔμετος δὲ ὠφελιμώτατος, ὁ φλέγματος καὶ χολῆς ξυμμεμιγμένος ὡς μάλιστα, καὶ μὴ

salutaria sint, abscessus ad loca infra septum transversum expectari debet.

33. Quinetiam pinguedines supra innatantes araneorum telas referentes, damnare oportet, colliquationis enim signa sunt.

34. Considerare autem convenit, in urinis quæ nubeculas habent, an superne, an inferne ferantur, et quosdam habeant colores. Et quæ quidem deorsum feruntur cum dictis coloribus, bonæ censendæ, et commendandæ, at quæ sursum feruntur, malæ, et vituperandæ.

35. Neque vero tibi imponat, si ipsa vesica morbo affecta hujusmodi urinas aliquas reddiderit: non enim totius corporis, sed ipsius per se indicium est.

36. Vomitus perquam est utilis, ex bile ac pituita quam maxime permixtus;

κάρτα παχὺς, μηδὲ πολὺς ἐμεέσθω. οἱ γὰρ ἀκρητέστεροι τῶν ἐμέτων, κακίους εἰσί.

λζ. Ην δὲ ἔῃ τὸ ἐμεύμενον πρασοειδὲς, ἢ πέλιον, ἢ μέλαν, ὅ, τι ἂν ἔῃ τουτέων τῶν χρωμάτων, νομίζειν χρὴ πονηρὸν εἶναι.

λη. Εἰ δὲ καὶ πάντα τὰ χρώματα ωὑτὸς ἐμέοι ἄνθρωπος, κάρτα ὀλέθριον ἤδη γίνεται.

λθ. Τάχιον δὲ θάνατον σημαίνει τὸ πέλιον τῶν ἐμέτων, εἰ ὄζοι δυσῶδες.

μ. Πᾶσαι δὲ αἱ ὑπόσαπροι καὶ δυσώδεες ὀσμαὶ, κακαὶ ἐπὶ πᾶσι τοῖσιν ἐμεομένοισι.

μα. Πτύελον δὲ χρὴ ἐπὶ πᾶσι τοῖσιν ἀλγήμασι, τοῖσι περὶ τὸν πλεύμονά τε καὶ τὰς πλευρὰς, ταχέως τε ἀναπτύεσθαι, καὶ εὐπετέως, ξυμμεμιγμένον τε φαίνεσθαι τὸ ξανθὸν ἰσχυρῶς τῷ πτυέλῳ.

neque admodum crassus est, neque multus. Qui enim sinceriores vomitus, pejores sunt.

37. Si vero quod vomitione rejicitur, porrum colore referat, aut lividum, aut nigrum fuerit, quisquis horum colorum adfuerit, pravus existimandus est.

38. Quod si vero vomitu omnes hos colores idem homo rejiciat, tum exitiale est admodum.

39. At lividus vomitus, si graviter olet, celerrimam mortem denuntiat.

58. Omnes vero subputres et graves odores, in omnibus vomitionibus, mali sunt.

41. Sputum vero in omnibus qui circa pulmones et latera fiunt doloribus, cito ac facile exspui convenit, sputoque flavum valde permixtum apparere.

μβ. Εἰ γὰρ πολλῷ ὕςερον μετὰ τὴν ἀρχὴν τῆς ὀδύνης ἀναπτύοιτο, ξανθὸν ἐὸν, ἢ πυῤῥὸν, ἢ πολλὴν βῆχα παρέχον, καὶ μὴ ἰσχυρῶς ξυμμεμιγμένον, κάκιον γίνεται.

μγ. Τό τε γὰρ ξανθὸν, ἄκρητον ἐὸν, κινδυνῶδες· τὸ δὲ λευκὸν καὶ γλίσχρον καὶ ςρογγύλον, ἀλυσιτελές.

μδ. Κακὸν δὲ καὶ τὸ χλωρὸν ἐὸν κάρτα, καὶ τὸ ἀφρῶδες. εἰ δὲ εἴη οὕτω ἄκρητον, ὥςε καὶ μέλαν φαίνεσθαι, δεινότερόν ἐςι τοῦτο ἐκείνων.

με. Κακὸν δὲ καὶ ἢν μηδὲν ἀνακαθαίρηται, μηδὲ προΐῃ ὁ πλεύμων, ἀλλὰ πλήρης ἐὼν ζέῃ ἐν τῷ φάρυγγι.

μς. Κορύζας δὲ καὶ πταρμοὺς, ἐπὶ πᾶσι τοῖσι περὶ τὸν πλεύμονα τε καὶ τὰς πλευρὰς νοσεύμασι, προγεγονέναι, ἢ ἐπιγεγονέναι, κακόν. ἀλλὰ ἐν τοῖσιν ἄλλοισι νοσήμασι τοῖσι θανατωδεςάτοισι, οἱ πταρμοὶ λυσιτελέες.

42. Etenim si multo post doloris initium, quod falvum est, aut fulvum, aut multam tussim exhibeat, neque valde permixtum, exspuatur, deterius est.

43. Flavum quippe si sincerum fuerit, periculosum est: album autem, et viscidum, et rotundum, inutile.

44. Malum quoque quod valde viride, quodque spumosum est. At si adeo sincerum fuerit, ut etiam nigrum appareat, id illis deterius est.

45. Malum quoque si nil expurgatur, neque projicit pulmo, sed plenus fervet in gutture.

46. In omnibus pulmonis morbis gravedines et sternutationes, tum præire, tum subsequi, malum. Verum in aliis morbis vel periculossimis, sternutamenta utilitate non carent.

μζ. Αἵματι δὲ ξυμμεμιγμένον μὴ πολλῷ πτύελον ξανθὸν, ἐν τοῖσι περιπλευμονικοῖσιν, ἐν ἀρχῇ μὲν τῆς νόσε πτυόμενον, περιεστηκὸς, καὶ κάρτα ὠφελέει· ἑβδομαίῳ δὲ ἐόντι, ἢ καὶ παλαιοτέρῳ, ἧσσον ἀσφαλές.

μη. Πάντα δὲ τὰ πτύελα πονηρά ἐστι, ὁκόσα ἂν τὴν ὀδύνην μὴ παύῃ· κάκιστα δὲ τὰ μέλανα, ὡς διαγέγραπται. τὰ παύοντα δὲ τὴν ὀδύνην, πάντων ἀμείνω ἀναπτυόμενα.

μθ. Ὁκόσα δὲ τῶν ἀλγημάτων τῶν ἐκ τέλεων τῶν χωρίων μὴ παύηται, μήτε πρὸς τὰς τῶν πτυέλων ἀνακαθάρσιας, μήτε πρὸς τὴν τῆς κοιλίης ἐκκόπρωσιν, μήτε πρὸς τὰς φλεβοτομίας τε, καὶ φαρμακηίας, καὶ διαίτας, εἰδέναι διεκπυήσοντα.

ν. Τῶν δὲ ἐκπυημάτων ὁκόσα μὲν, ἔτι χολώδεος ἐόντος τοῦ πτυέλου, ἐκπυίσκεται,

47. At in pulmonis inflammationibus si, in morbi principio, sputum excernitur flavum non multo permixtum sanguine, salutare est et confert admodum. Septimo vero die, vel tardius, non adeo securum.

48. Omnia autem sputa mala sunt, quæ dolorem non sedant, pessima etiam nigra, velut prius scriptum est: quæ vero dolorem sedant, omnium quæ excreantur optima sunt.

49. Horum vero locorum dolores, qui neque per sputorum purgationes, neque fæcum alvi dejectionem, neque venæ sectionem, aut medicamenta purgantia, et victus rationem sedantur, eos ad suppurationem verti scito.

50. Ex suppurationibus autem admodum exitiales sunt, quæ sputo adhuc quidem bilioso existente, erumpunt, sive

S

ὀλέθριον κάρτα, ἤν τε ἐν μέρεϊ τὸ χολῶδες τῷ πύῳ ἀναπλύνηται, ἤν τε ὁμοῦ. μάλιστα δὲ ἢν ἄρξηται χωρέειν τὸ ἔμπύημα, ἀπὸ πέλεκ τοῦ πλεύρου, ἑβδομαῖς ἐόντος τοῦ νοσήματος, ἢ παλαιότερυ. ἐλπὶς δὲ τὸν τὰ τοιαῦτα πτύοντα, ἀποθανέεσθαι τεσσαρεσκαιδεκαταῖον, ἢν μή τι αὐτέῳ ἐπιγένηται ἀγαθόν.

να. Ἔστι δὲ τὰ μὲν ἀγαθὰ, τάδε· εὐπετέως φέρειν τὸ νόσημα, εὔπνοον εἶναι, τῆς ὀδύνης ἀπηλλάχθαι, τό, τε πτύελον ῥηϊδίως ἀναβήσσειν, τό, τε σῶμα ὁμαλῶς φαίνεσθαι, θερμόν τε εἶναι καὶ μαλθακὸν, καὶ δίψην μὴ ἔχειν· οὖρα τε καὶ διαχωρήματα καὶ ὕπνους καὶ ἱδρῶτας, ὡς διαγέγραπται, ἕκαστα εἰδέναι ἀγαθὰ ἐόντα ἐπιγίνεσθαι. οὕτω μὲν γὰρ ἁπάντων τούτων ἐπιγινομένων, οὐκ ἂν ἀποθάνοι ὥνθρωπος. ἢν δὲ τὰ μέν τοι αὐτέων ἐπιγίνοιτο, τὰ δὲ

biliosum illud separatim, sive una cum pure exspuatur. Idque potissimum, si ab hujusmodi sputo suppuratio procedere cœperit, morbo ad diem septimum, aut ad longius tempus, progresso. Qui vero talia spuit, ne decimo-quarto die moriatur metus est, nisi aliquid boni ipsi accesserit.

51. At in bonis quidem signis hæc numerantur, facile morbum sustinere, bene spirare, a dolore liberatum esse, sputum facile tussiendo rejicere, corpus æqualiter calidum et molle videri, sitim non habere: urinas etiam et alvi excrementa, et somnos, et sudores, velut scriptum est, singula supervenire, bona existimanda sunt. His enim omnibus sic contingentibus, haudquaquam æger morietur. Quod si ex his quædam quidem contingant,

μὴ, ἐ πλέονα χρόνον ζήσας ἢ τεσσαρεσκαίδεκα ἡμέρας, ἀπόλοιτ᾽ ἂν ὤνθρωπος.

νβ. Κακὰ δὲ τὰ ἐναντία τουτέων, ἤδεν, δυσπετέως φέρειν τὴν νοῦσον, πνεῦμα μέγα καὶ πυκνὸν εἶναι, τὴν ὀδύνην μὴ παύεσθαι, τὸ πτύελον μόλις ἀναβήσσειν, διψῆν κάρτα, τό, τε σῶμα ὑπὸ πυρὸς ἀνωμάλως ἔχεσθαι, καὶ τὴν μὲν κοιλίην καὶ τὰς πλευρὰς, θερμὰς εἶναι ἰσχυρῶς, τὸ δὲ μέτωπον καὶ τὰς χεῖρας καὶ τοὺς πόδας, ψυχρούς· οὖρα δὲ καὶ διαχωρήματα καὶ ὕπνους καὶ ἱδρῶτας, ὡς διαγέγραπται, ἕκαστα εἰδέναι κακὰ ἐόντα. οὕτω γὰρ εἰ ἐπιγίνοιτό τι τῷ πτυέλῳ τουτέων, ἀπόλοιτο ἂν ὤνθρωπος, πρὶν ἢ ἐς τὰς τεσσαρεσκαίδεκα ἡμέρας ἀφικέσθαι, ἢ ἐνναταῖος, ἢ ἑνδεκαταῖος· οὕτω οὖν ξυμβάλλεσθαι χρὴ, ὡς τοῦ πτυέλου τούτου θανατώδεος ἐόντος μάλα, καὶ οὐ φθάνοντος ἐς τὰς

quædam minime, non ultra decimum-quartum diem æger vitam producet.

52. Mala vero quæ his contraria sunt, scilicet morbum ægre sustinere, spirationem magnam et frequentem esse, dolorem non sedari, sputum ægre tussiendo rejicere, valde sitire, corpus a febre inæqualiter detineri, alvum quidem et latera vehementer calere, fronte manibus et pedibus frigidis; urinas vero et alvi excrementa, et somnos, et sudores, ut descriptum est, hæc singula mala esse nosse convenit. Si quid enim ex his sputo upervenerit, morietur æger priusquam ad decimum-quartum diem perveniat, aut nono, aut undecimo die. Sic igitur conjicere oportet, quod sputum istud valde lethale sit, neque etiam ad decimum-quartum perveniet. Proinde,

τεσσαρεσκαίδεκα ἡμέρας. τὰ δὲ ἐπιγινόμενα κακά τε καὶ ἀγαθὰ ξυλλογιζόμενον ἐκ τέλέων, χρὴ τὰς προῤῥήσεας προλέγειν· οὕτω γὰρ ἂν τις ἀληθεύοι μάλιστα.

νγ. Αἱ δὲ ἄλλαι ἐκπυήσιες ῥήγνυνται αἱ πλεῖσται, αἱ μὲν εἰκοσταῖαι, αἱ δὲ τριηκοσταῖαι, αἱ δὲ τεσσαρακονθήμεροι, αἱ δὲ πρὸς τὰς ἑξήκοντα ἡμέρας ἀπικνέονται.

νδ. Επισκέπτεσθαι δὲ χρὴ τὴν ἀρχὴν τοῦ ἐμπυήματος ἔσεσθαι, λογιζόμενον ἀπὸ τῆς ἡμέρης, ᾗ τὸ πρῶτον ὤνθρωπος ἐπύρεξεν, ἢ εἴ ποτε αὐτὸν ῥῖγος ἔλαβε, καὶ εἰ φαίη ἀντὶ τῆς ὀδύνης, βάρος αὐτέῳ ἐγγεγενῆσθαι ἐν τῷ τόπῳ ἐν ᾧ ἤλγεε· ταῦτα γὰρ ἐν ἀρχῇσι γίνεται τῶν ἐμπυημάτων· ἐξ ὧν τελέων τῶν χρόνων τὴν ῥῆξιν χρὴ προσδέχεσθαι τῶν ἐμπυημάτων ἔσεσθαι ἐς τοὺς χρόνους τοὺς προειρημένους.

tum mala, tum bona, quæ superveniunt, perpendendo ex his, prædictiones facere oportet. Sic enim quis potissimum veritatem consequi poterit.

53. Reliquæ vero suppurationes magna ex parte rumpuntur, partim quidem vigesimo die, partim etiam trigesimo, quædam quoque quadragesimo, aliquæ etiam ad sexagesimum diem deveniunt.

54. Suppurationis autem futuræ initium considerare oportet, supputatione facta ab eo die quo primum æger febricitavit, aut etiam si ipsum rigor prehendit, et si pro dolore, sibi pondus inesse in eo loco qui dolore affligebatur, dixerit: ista namque circa suppurationum initia fieri solent. Ex hoc igitur tempore suppurationum ruptionem fore intra prædicta tempora expectandum est.

νε. Εἰ δὲ εἴη τὸ ἐμπύημα ἐπὶ θάτερα μοῦνον, σρέφεσθε, ϗ καταμανθάνειν χρὴ ἐπὶ τοῖσι, μήτι ἔχῃ ἄλγημα ἐν τῷ ἑτέρῳ πλευρῷ· ϗ ἢν θερμότερον ἔῃ τὸ ἕτερον τῦ ἑτέρε, κατακλινομένε ἐπὶ τὸ ὑγιαῖνον πλευρὸν, ἐρωτᾷν, εἴ τι αὐτῷ δοκέει βάρος ἀποκρέμασθαι ἐκ τῦ ἄνωθεν. εἰ γὰρ εἴη τῦτο, ἐπὶ θάτερόν ἐστι τὸ ἐμπύημα, ἐπὶ ὁκοῖον ἂν πλευρὸν τὸ βάρος ἐγγίνηται.

νϛ. Τὲς δὲ ξύμπαντας ἐμπύες γινώσκειν χρὴ, τοῖσι δὲ τοῖσι σημηίοισι. πρῶτον μὲν εἰ ὁ πυρετὸς ἐκ ἀφίησιν, ἀλλὰ τὴν μὲν ἡμέρην λεπτὸς ἴσχει, τὴν δὲ νύκτα πλέων, ϗ ἱδρῶτες πολλοὶ ἐπιγίνονται. βῆξαι τε θυμὸς ἐγγίνεται αὐτέοισι, καὶ ἀποπτύεσιν ἐδὲν ἄξιον λόγου, καὶ οἱ μὲν ὀφθαλμοὶ, ἔγκοιλοι γίνονται, αἱ δὲ γνάθοι, ἐρυθήματα ἴσχεσι, καὶ οἱ μὲν ὄνυχες τῶν χειρέων, γρυπῦνται, οἱ δὲ δάκτυλοι, θερμαίνονται, καὶ μάλιστα ἄκροι, καὶ ἐν τοῖσι

55. Quod si in altero tantum latere suppuratio fuerit, tum vertere ægrum, tum ediscere ad hæc convenit, num dolorem aliquem percipiat in altero latere, et num alterum altero calidius fuerit, atque ubi in latus sanum decubuerit, interrogare si quod ei pondus desuper impendere videatur. Sic enim altero latere, in quo pondus exstiterit, suppuratio est.

56. At purulentos omnes his signis dignoscere oportet. Primum quidem si febris non dimittit, verum interdiu levior quidem, noctu vero major detinet, et sudores multi oboriuntur. Tussiendique cupiditas ipsis inest, nihil tamen effatu dignum exspuunt, oculique cavi redduntur, malæ ruborem contrahunt, et ungues quidem manuum adunci fiunt, digiti vero, maximeque summi, incales-

ποσὶν οἰδήματα γίνεται, καὶ σιτίων ἐκ ἐπιθυμέουσι, καὶ φλύκταιναι γίνονται ἀνὰ τὸ σῶμα.

νζ. Οκόσα μὲν ἔν ἐγχρονίζει τῶν ἐμπυημάτων, ἔχει τὰ σημήϊα ταῦτα, κ̀ πιςεύειν αὐτέοισι χρὴ κάρτα. ὁκόσα δὲ ὀλιγοχρόνιά ἐςι, σημαίνεσθαι τελέων, ἤν τι ἐπιφαίνηται, οἷα κ̀ τοῖσιν ἐν ἀρχῇσι γινομένοισι· ἅμα δὲ καὶ ἤν τι δυσπνέςερος ἔῃ ὁ ἄνθρωπος.

νη. Τὰ δὲ ταχύτερον αὐτέων κ̀ βραδύτερον ῥηγνύμενα, τοῖσδε γινώσκειν χρή· ἢν μὲν ὁ πόνος ἐν ἀρχῇσι γίνεται, κ̀ ἡ δύσπνοια, κ̀ ἡ βὴξ, καὶ ὁ πτυαλισμὸς διατελέῃ, ἐς τὰς εἴκοσι ἡμέρας προσδέχεσθαι τὴν ῥῆξιν, ἢ κ̀ ἔτι πρόσθεν. ἢν δὲ ἡσυχέςερος ὁ πόνος ἔῃ, κ̀ τὰ ἄλλα πάντα κατὰ λόγον τελέκ, προσδέχεσθαι τὴν ῥῆξιν ἐς ὕςερον. γίνεσθαι δὲ

cunt, et in pedibus tumores fiunt, cibos minime appetunt, et pustulæ toto corpore oriuntur.

57. Diuturnæ igitur suppurationes hæc habent signa, et iis multa fides habenda est. Quæ vero breve habent spatium, sic indicantur, si quid eorum appareat, qualia inter initia fiunt, simulque si etiam aliquanto difficilius spiret æger.

58. At vero quæ ex ipsis citius aut tardius rumpuntur, his signis cognoscere oportet. Si quidem dolor inter initia oriatur, et spirandi difficultas, ac tussis sputatioque perseverant, ad vigesimum diem; et etiam prius, ruptionem expectato. Quod si mitior dolor fuerit, et cætera omnia pro hujus ratione mitiora, tardius ruptionem sperato. Necesse vero

ἀναγκαίη καὶ πόνον, καὶ δύσπνοιαν, καὶ πτυαλισμὸν πρὸ τῆς τοῦ πύου ῥήξιος.

νθ. Περιγίνονται δὲ τούτων, μάλιστα μὲν οὓς ἂν αὐθημερὸν ὁ πυρετὸς ἀφῇ μετὰ τὴν ῥῆξιν, καὶ σιτίων ταχέως ἐπιθυμέωσι, καὶ δίψης ἀπηλλαγμένοι ἔωσι, καὶ ἡ γαστὴρ σμικρά τε καὶ ξυνεστηκότα ὑποχωρέῃ, καὶ τὸ πῦον λευκόν τε καὶ λεῖον καὶ ὁμόχροον ἔῃ, καὶ φλέγματος ἀπηλλαγμένον, καὶ ἄτερ πόνου τε, καὶ βηχὸς ἰσχυρῆς ἀνακαθαίρηται. ἄριστα μὲν οὖν οὕτω, καὶ τάχιστα ἀπαλλάσσουσιν, ἢν δὲ μὴ, οἷσιν ἂν ἐγγυτάτω τουτέων γίνηται.

ξ. Ἀπόλλυνται δὲ οὓς ἂν ὅ, τε πυρετὸς μὴ ἀφείη, ἀλλὰ δοκέων αὐτέους ἀφιέναι, αὖτις φαίνηται ἀναθερμαινόμενος, καὶ δίψαν μὲν ἔχωσι, σιτίων δὲ μὴ ἐπιθυμέωσι, καὶ ἡ κοιλίη ὑγρὴ ἔῃ, καὶ τὸ πῦον χλωρὸν, ἢ καὶ

tum

est accedere dolorem, spirandi difficultatem, et sputationem, ante puris eruptionem.

59. Ex his autem potissimum superstites manent hi, quos febris eodem post ruptionem die dimisit, quique cibos celeriter expetiverint, et a siti liberati fuerint, venterque, tum exigua, tum coacta dejecerit, et si pus album et læve, ejusdemque coloris fuerit, et a pituita liberum, citraque dolorem, aut tussim vehementem educatur. Sic quidem optime, et celerrime liberantur ægri, sin minus, hi quibus proxima his contigerint.

60. Moriuntur vero hi, quos febris non dimiserit, sed cum ipsos dimisisse videatur, iterum incalescens apparuerit, et siti quidem vexantur, cibos vero non expetiverint, et alvus liquida fuerit, pusque ex viridi pallidum, aut etiam lividum, aut

πέλιον πτύῃ, ἢ φλεγματῶδες καὶ ἀφρῶδες. ἢν ταῦτα πάντα γίνηται, ἀπόλλυνται.

ξα. Ὁκόσοισι δὲ ἂν τουτέων τὰ μὲν ἐπιγένηται, τὰ δὲ μή· οἱ μὲν αὐτέων ἀπόλλυνται, οἱ δὲ ἐν πολλῷ χρόνῳ περιγίνονται. ἀλλὰ ἐκ πάντων τῶν τεκμηρίων τῶν ἐνεόντων ἐν τούτεοισι, σημαίνεσθαι, καὶ τοῖσιν ἄλλοισι πᾶσι.

ξβ. Ὁκόσοισι δὲ ἀποστάσεες γίνονται, ἐκ τῶν περιπλευμονικῶν νοσημάτων, παρὰ τὰ ὦτα, καὶ ἐμπυέουσιν, ἢ ἐς τὰ κάτω χωρία ῥήγνυνται καὶ συριγγοῦνται, οὗτοι δὲ περιγίνονται.

ξγ. Ὑποσκέπτεσθαι δὲ χρὴ καὶ τὰ τοιαῦτα, ὧδε· ἢν ὅ τε πυρετὸς ἔχῃ, καὶ ἡ ὀδύνη μὴ πεπαυμένη ἔῃ, καὶ τὸ πτύελον μὴ ἐκχωρέῃ κατὰ λόγον, μηδὲ χολώδεες αἱ τῆς κοιλίης διαχωρήσεες, μηδὲ εὔλυτοι καὶ ἄκρητοι γίνωνται,

pituita permixtum et spumosum expuerint. Si hæc omnia contigerint, moriuntur.

61. At quibus eorum partim quædam contigerint, partim minime, ex his nonnulli quidem intereunt, quidam etiam ex longo temporis intervallo supersunt. Sed ex omnibus signis quæ adsunt, tum in his, tum in reliquis omnibus, conjecturam facito.

62. Quibus ex morbis pulmonis ad aures abscessus oboriuntur, et suppurant, aut ad inferiores sedes, fistula facta, aperiuntur, ii quidem superstites fiunt.

63. Ista vero etiam hunc in modum consideranda. Si febris detinuerit, neque dolor sedatus fuerit, neque sputum pro ratione prodierit, neque biliosæ fuerint alvi egestiones, neque bene solutæ ac

μηδὲ τὸ οὖρον κάρτα πουλύ τε καὶ παχὺ, καὶ πολλὴν ὑπόστασιν ἔχον, ὑπηρετέηται δὲ περιεστηκῶς ὑπὸ τῶν λοιπῶν πάντων τῶν περιεστηκότων σημηΐων, τουτέοισι χρὴ τὰς τοιαύτας ἀποστάσιας ἐλπίζειν ἔσεσθαι.

ξδ. Γίγνονται δὲ αἱ μὲν ἐς τὰ κάτω χωρία, οἷσιν ἂν περὶ τὰ ὑποχόνδρια τοῦ φλέγματός τι ἐγγίνηται. αἱ δὲ ἄνω, οἷσιν ἂν τὸ μὲν ὑποχόνδριον λαπαρόν τε καὶ ἀνώδυνον διατελέῃ, δύσπνοος δέ τινα χρόνον γενόμενος, παύσηται ἄτερ φανερῆς προφάσεος.

ξε. Αἱ δὲ ἀποστάσιες αἱ ἐς τὰ σκέλεα ἐν τῇσι περιπλευμονίῃσι τῇσιν ἰσχυρῇσί τε καὶ ἐπικινδύνοισι, λυσιτελέες μὲν ἅπασαι. ἄρισται δὲ αἱ τοῦ πτυέλου ἐν μεταβολῇ ἤδη ἐόντος γινόμεναι. εἰ γὰρ τὸ οἴδημα καὶ ἡ ὀδύνη γίνοιτο, τοῦ πτυέλου ἀντὶ ξανθοῦ πυώδεος γενομένου, καὶ

sinceræ, neque urina admodum multa et spissa, ac copiosum habens sedimenmentum, suffragentur vero ad salutem reliqua omnia salutaria signa, in his hujusmodi fore abscessus expectato.

64. Ac hi oriuntur quidem in locis inferioribus, quibus circa hypochondria inflammationis aliquid subest : illi autem in superioribus, quibus hypochondrium quidem molle et doloris expers perseveraverit, et ubi qui difficulter spiritum aliquandiu traxerit, citra ullam evidentem causam quieverit.

65. Cæterum in vehementibus et periculo proximis pulmonum inflammationibus, abscessus ad crura omnes sane utiles. Optimi vero, qui fiunt sputo jam mutationem subeunte. Si namque tumor et dolor suboriatur, sputo pro flavo in pus verso,

ἐκχωρέοντος ἔξω, οὕτω ἂν ἀσφαλέστατα ὅ τε ἄνθρωπος περιγίνοιτο, καὶ ἡ ἀπόστασις τάχιστα ἀνώδυνος παύσοιτο. ἢν δὲ τὸ πτύελον μὴ ἐκχωρέῃ καλῶς, μηδὲ τὸ οὖρον ὑπόστασιν ἀγαθὴν ἔχον φαίνοιτο, κίνδυνος χωλὸν γενέσθαι τὸ ἄρθρον, ἢ πολλὰ πρήγματα παρασχεῖν.

ξϛ. Ην δὲ ἀφανίζωνται αἱ ἀποστάσιες, τοῦ πτυέλου μὴ ἐκχωρέοντος, καὶ τοῦ πυρετοῦ ἔχοντος, δεινόν· κίνδυνος γὰρ μὴ παραφρονήσῃ τε, καὶ ἀποθάνῃ ὥνθρωπος.

ξζ. Τῶν δὲ ἐμπύων, τῶν ἐκ τῶν περιπλευμονικῶν, οἱ γεραίτεροι μᾶλλον ἀπόλλυνται· ἐκ δὲ τῶν ἄλλων ἐμπυημάτων, οἱ νεώτεροι μᾶλλον ἀποθνήσκουσι.

ξη. Αἱ δὲ ξὺν πυρετῷ γενόμεναι ὀδύναι περὶ τὴν ὀσφῦν τε, καὶ τὰ κάτω χωρία, ἢν τῶν φρενῶν ἅπτωνται, τὰ κάτω ἐκλείπουσαι,

et foras prodeunte, hoc modo tum securissime æger superstes futurus est, tum citissime citra dolorem abscessus conquiescet. Quod si neque sputum recte excernatur, neque urina bonam subsidentiam habere videatur, periculum est ne articulo claudicet æger, aut ei multum molestiarum exhibeatur.

66. Si vero dispareant abscessus sputo non prodeunte, et detinente febre, horrendum est, periculum enim delirii, et mortis, ægro imminet.

67. Ex suppuratis autem quos pulmonum morbi concitarunt, fere seniores moriuntur, at ex cæteris suppurationibus, juniores potius intereunt.

68. At dolores qui cum febre fiunt circa lumbos, et inferiores partes, si septum transversum attigerint, partibus

ὀλέθριαι κάρτα. προσέχειν οὖν δεῖ τὸν νόον τοῖσιν ἄλλοισι σημηΐοισι, ὡς ἤν τι καὶ τῶν ἄλλων σημηΐων ἐπιφαίνηται πονηρὸν, ἀνέλπιστος ὥνθρωπος.

ξθ. Εἰ δὲ ἀναΐσσοντος τοῦ νοσήματος ὡς πρὸς τὰς φρένας, τὰ ἄλλα σημήϊα μὴ πονηρὰ ἐπιγίνηται, ἔμπυον ἔσεσθαι τοῦτον πολλαὶ ἐλπίδες.

ο. Οκόσοι δὲ τῶν ἐμπύων καίονται, οἷσιν ἂν καθαρὸν μὲν τὸ πῦον ἔῃ καὶ λευκὸν, καὶ μὴ δυσῶδες, σώζονται. οἷσι δὲ ὕφαιμόν τε καὶ βορβορῶδες, ἀπόλλυνται.

οα. Κύστεες δὲ σκληραί τε καὶ ἐπώδυνοι, δειναὶ μὲν παντελῶς καὶ ὀλέθριαι· ὀλεθριώταται δὲ ὁκόσαι ξὺν πυρετῷ ξυνεχέϊ γίνονται· καὶ γὰρ οἱ ἀπ' αὐτέων τῶν κύστεων πόνοι, ἱκανοὶ ἀποκτεῖναι· καὶ αἱ κοιλίαι οὐ διαχωρέουσιν ἐν

inferioribus relictis, exitiales sunt admodum. Ad alia igitur signa animum adhibere oportet: nam si ex pravis signis quippiam apparuerit, omni spe destitutus est æger.

69. Quod si, irruente ad septum transversum morbo, alia signa minime mala accesserint, hunc suppuratum fore magna spes est.

70. Cum vero suppurati uruntur, quibus purum quidem pus est et album, nec fœtidum, ii servantur. At quibus subcruentum et cœnosum, moriuntur.

71. Porro vesicæ duræ, et dolentes, horridæ prorsus et exitiales sunt. Maxime autem exitiales quæ cum febre assidua fiunt: etenim ipsius vesicæ dolores ad mortem inferendam satis sunt, neque

τελέῳ τῷ χρόνῳ, εἰ μὴ σκληρόν τι καὶ πρὸς ἀνάγκην.

οβ. Λύει δὲ οὖρον πυῶδες ἐρηθὲν, λευκὴν καὶ λείην ἔχον τὴν ὑπόςασιν.

ογ. Ην δὲ μήτε τὸ οὖρον ἔῃ μηδὲν, μήτ' ἐνδιδοίη ὁ πόνος, μήτε ἡ κύστις μαλάσσοιτο, ὅ, τε πυρετὸς ξυνεχὴς ἔῃ, ἐν τῇσι πρώτῃσι περιόδοισι τῦ νοσήματος ἐλπὶς τὸν ἀλγέοντα ἀπολέσθαι.

οδ. Ο δὲ τρόπος οὗτος μάλιστα τῶν παιδίων ἅπτεται τῶν ἀπὸ ἑπτὰ ἐτέων, ἐς τ' ἂν ἐς πεντεκαίδεκα ἔτεα γένωνται.



alvi hoc tempore egerunt, nisi durum quiddam et coactum.

72. Solvit autem morbum purulenta micta urina, album et læve habens sedimentum.

73. Quod si neque urina quidquam effluat, neque dolor remiserit, neque mollior vesica reddatur, febrisque assidua fuerit, ne intra primos morbi circuitus æger moriatur timendum est.

74. Hoc autem modo potissimum tentantur pueri a septimo anno ad decimumquintum.



ΤΜΗΜΑ ΤΡΙΤΟΝ.

Α.

ΟΙ δὲ πυρετοὶ κρίνονται ἐν τῇσιν αὐτέῃσι ἡμέρῃσι τὸν ἀριθμὸν, ἐξ ὧν τε περιγίνονται οἱ ἄνθρωποι, καὶ ἐξ ὧν ἀπόλλυνται.

β. Οἵ τε γὰρ εὐηθέστατοι τῶν πυρετῶν, καὶ ἐπὶ σημηΐων ἀσφαλεστάτων βεβῶτες τεταρταῖοι παύονται, ἢ πρόσθεν· οἵ τε δὲ κακοηθέστατοι, καὶ ἐπὶ σημηΐων δεινοτάτων γινόμενοι τεταρταῖοι κτείνουσιν, ἢ πρόσθεν

γ. Η μὲν οὖν πρώτη ἔφοδος αὐτέων οὕτω τελευτᾷ· ἡ δὲ δευτέρη, ἐς τὴν ἑβδόμην περιάγεται· ἡ δὲ τρίτη, ἐς τὴν ἑνδεκάτην, ἡ δὲ τετάρτη, ἐς τὴν τεσσαρεσκαιδεκάτην, ἡ δὲ πέμπτη, ἐς τὴν ἑπτακαιδεκάτην, ἡ δὲ ἕκτη, ἐς τὴν

SECTIO TERTIA.

I.

FEBRES judicantur iisdem numero diebus, quibus et evadunt, et moriuntur homines.

2. Nam et mitissimæ febres, et quæ securissimis incedunt signis, die quarto, aut ante desinunt: maxime vero malignæ, et quæ cum gravissimis signis fiunt, quarto, vel prius interficiunt.

3. Primus itaque earum insultus ad hunc modum desinit, secundus ad septimum deducitur, tertius ad undecimum, quartus ad decimum-quartum, quintus ad decimum-septimum, sextus

εἰκοςῆν. ἄυται μὲν οὖν ἐκ τῶν ὀξυτάτων νοσημάτων διὰ τεσσάρων ἐς τὰς εἴκοσιν, ἐκ προσθέσεος τελευτῶσι.

δ. Οὐ δύναται δὲ ὅλῃσι ἡμέρῃσιν οὐδὲν τελέων ἀριθμέεσθαι ἀτρεκέως, οὐδὲ γὰρ ὁ ἐνιαυτός τε, καὶ οἱ μῆνες ὅλῃσι ἡμέρῃσι πεφύκασιν ἀριθμέεσθαι.

ε. Μετὰ δὲ ταῦτα ἐν τῷ αὐτέῳ τρόπῳ κατὰ τὴν αὐτέην πρόσθεσιν, ἡ μὲν πρώτη περίοδος τεσσάρων καὶ τριήκοντα ἡμερέων· ἡ δὲ δευτέρη τεσσαράκοντα ἡμερέων· ἡ δὲ τρίτη ἑξήκοντα ἡμερέων.

ς. Τούτεων δὲ ἐν ἀρχῇσιν ἐστὶ χαλεπώτατα προγινώσκειν τὰ μέλλοντα ἐν πλείστῳ χρόνῳ κρίνεσθαι, ὁμοιόταται γὰρ αἱ ἀρχαὶ εἰσιν αὐτέων. ἀλλὰ χρὴ ἀπὸ τῆς πρώτης ἡμέρης ἐνθυμέεσθαι, καὶ κατὰ ἑκάστην τετράδα προστιθεμένην ἐπισκέπτεσθαι, καὶ οὐ λήσει ὅκῃ τρέψεται τὸ νόσημα.

ad vigesimum. Hi igitur circuitus ex acutissimis morbis per quatuor facta accessione, ad vigesimum terminantur.

4. Neque sane horum quidquam integris diebus exacte numerari potest, cum neque annus etiam, neque menses, integris diebus numerari soleant.

5. Post hæc autem eadem ratione, juxta eamdem adjectionem, primus circuitus est quatuor et triginta dierum, secundus quadtaginta, tertius sexaginta.

6. At inter horum initia perquam difficile est prænoscere quinam longo temporis spatio judicati debeant, quod simillima sint eorum principia. Verum a primo die advertere animum oportet, et, prout singuli quaternarii adduntur, considerationem adhibere, nec latebit quonam se vertat morbus.

ζ. Γίνεται δὲ καὶ ἡ τῶν τεταρταίων κατάστασις, ἐκ τοῦ τοιουτέου κόσμου.

η. Τὰ δὲ ἐν ἐλαχίστῳ χρόνῳ μέλλοντα κρίνεσθαι, εὐπετέστερα προγινώσκεσθαι, μέγιστα γὰρ τὰ διαφέροντα ἀπ᾽ ἀρχῆς αὐτέων ἐστί. οἱ μὲν γὰρ περιεσόμενοι, εὔπνοοί τε καὶ ἀνώδυνοί εἰσι, καὶ κοιμῶνται τὰς νύκτας, τά τε ἄλλα σημήϊα ἔχουσιν ἀσφαλέστατα. οἱ δὲ ἀπολλύμενοι δύσπνοοι γίνονται, ἀλλοφάσσοντες, ἀγρυπνέοντες, τάτε ἄλλα σημήϊα κάκιστα ἔχοντες.

θ. Ὡς οὖν τουτέων οὕτω γινομένων, ξυμβάλλεσθαι χρὴ κατά τε τὸν χρόνον, κατά τε τὴν πρόσθεσιν ἑκάστην, ἐπὶ τὴν κρίσιν ἰόντων τῶν νουσημάτων.

ι. Κατὰ δὲ τὸν αὐτὸν λόγον, καὶ τῇσι γυναιξὶ αἱ κρίσιες ἐκ τῶν τόκων γίνονται.

7. Quartanarum quoque conditio eumdem servat ordinem.

8. Porro morbi qui intra brevissimum temporis spatium judicationem sunt subituri, facilius prænoscuntur, cum maxime inter se ab initio dissideant. Qui enim superfuturi sunt, facile spirant, dolore vacant, noctu dormiunt, aliaque securissima signa habent. Qui vero morituri, difficultate spirandi vexantur, delirant, vigilant, aliaque pessima signa habent.

9. His igitur sic se habentibus, de morbis ad judicationem tendentibus, tum ex tempore, tum ex unaquaque adjectione, conjectura facienda est.

10. Juxta eamdem quoque rationem, et mulieribus judicationes ex partu contingunt.

ια. Κεφαλῆς δὲ ὀδύναι ἰσχυραί τε καὶ ξυνεχέες ξὺν πυρετῷ, ἢν μέν τι τῶν θανατωδέων σημηίων προσγίνοιτο, ὀλέθριον κάρτα. εἰ δὲ ἄτερ τῶν σημηίων τοιχτέων ἡ ὀδύνη ὑπερβάλλοι εἴκοσι ἡμέρας, ὅ τε πυρετὸς ἔχοι, ὑποσκέπτεσθαι χρὴ αἵματος ῥῆξιν διὰ ῥινῶν, ἢ ἄλλην τινὰ ἀπόστασιν ἐς τὰ κάτω χωρία. ἔστ' ἂν δὲ καὶ ἡ ὀδύνη ἔῃ νεαρὰ, προσδέχεσθαι χρὴ αἵματος ῥῆξιν διὰ ῥινῶν, ἢ ἐκπύησιν, ἄλλως δὲ κὴν ἡ ὀδύνη περὶ τὰς κροτάφας τε καὶ τὸ μέτωπον ἔῃ.

ιβ. Μᾶλλον δὲ χρὴ προσδέχεσθαι τῷ μὲν αἵματος τὴν ῥῆξιν τοῖσι νεωτέροισι πέντε καὶ τριήκοντα ἐτέων, τοῖσι δὲ γεραιτέροισι, τὴν ἐκπύησιν.

ιγ. Ὠτὸς δὲ ὀξέη ὀδύνη ξὺν πυρετῷ ξυνεχεῖ τε καὶ ἰσχυρῷ, δεινόν· κίνδυνος γὰρ παραφρονῆσαι τὸν ἄνθρωπον, καὶ ἀπολέσθαι.

11. Capitis autem dolores vehementes ac continentes cum febre, si quidem lethalium signorum aliquod accesserit, admodum exitiales. Quod si sine signis ejusmodi, dolor viginti dies superet, et febris detineat, sanguinis ex naribus eruptionem, aut alium quemdam abscessum ad inferiores sedes suspectari oportet. Verum quoad dolor recens fuerit, sanguinis ex naribus eruptionem, aut suppurationem expectare convenit, cum alias, tum si dolor circa tempora et frontem fuerit.

12. At sanguinis eruptio magis expectanda venit in his qui nondum quintum et trigesimum annum attigerunt, in senioribus vero suppuratio.

13. Auris dolor acutus cum febre continua et vehementi horrendus est: periculum enim est ne deliret homo, et

ὡς ἂν τουτέου τοῦ τόπου σφαλερῶς ἐόντος, ταχέως δεῖ προσέχειν τὸν νόον τοῖσι σημηΐοισι πᾶσιν, ἀπὸ τῆς πρώτης ἡμέρης.

ιδ. Ἀπόλλυνται δὲ οἱ μὲν νεώτεροι τῶν ἀνθρώπων ἑβδομαῖοι, καὶ ἔτι θᾶσσον, ὑπὸ τοῦ νοσήματος τουτέου, οἱ δὲ γέροντες, πολλῷ βραδύτερον. οἵ τε γὰρ πυρετοὶ, καὶ αἱ παραφροσύναι, ἧσσον αὐτέοισιν ἐπιγίνονται· καὶ τὰ ὦτα διὰ τοῦτο φθάνει ἐκπυΐσκεσθαι.

ιε. Ἀλλὰ ταύτῃσι μὲν τῇσι ἡλικίῃσι ὑποστροφαὶ τοῦ νοσήματος ἐπιγινόμεναι, ἀποκτείνουσι τοὺς πλείστους, οἱ δὲ νεώτεροι, πρὶν ἐκπυῆσαι τὸ οὖς, ἀπόλλυνται. ἐπεὶ ἤν γε ῥυῇ πῦον λευκὸν ἐκ τοῦ ὠτὸς, ἐλπὶς τῷ νεωτέρῳ περιγενέσθαι, ἤν τι καὶ ἄλλο χρηστὸν αὐτέῳ ἐπιγένηται σημήϊον.

ιϛ. Φάρυγξ δὲ ἑλκουμένη, ξὺν πυρετῷ, δεινόν. ἀλλὰ ἤν τι καὶ ἄλλο σημήϊον γένηται,

moriatur. Cum igitur hic locus minime tutus sit, celeriter a primo die ad omnia signa animum adhibere oportet.

14. Moriuntur autem ex hoc morbo, juniores quidem homines septimo die, aut etiam citius, senes vero multo tardius. Nam et febres, et deliria minus eis suboriuntur, auresque eam ob causam suppuratio præoccupat.

15. Verum his quidem ætatibus succedentes morbi reversiones plurimos interficiunt, juniores vero priusquam auris suppuret, intereunt. Quandoquidem si pus album ex aure fluxerit, juniorem superfuturum spes est, si aliud etiam quoddam ei bonum signum supervenerit.

16. Fauces exulceratæ cum febre, grave aliquid portendunt. At si aliud aliquod etiam signum adfuerit, ex his quæ ante

τῶν προκεκριμένων πονηρῶν, προλέξειν ὡς ἐν κινδύνῳ εἶναι τὸν ἄνθρωπον.

ζ. Αἱ δὲ κυνάγχαι, δεινόταται μέν εἰσι, καὶ τάχιστα ἀποκτείνουσι, ὁκόσαι μήτε ἐν τῇ φάρυγγι μηδὲν ἔκδηλον ποιέουσι, μήτε ἐν τῷ αὐχένι, πλεῖστον τε πόνον παρέχουσι, καὶ ὀρθόπνοιαν. αὗται γὰρ καὶ αὐθημερὸν ἀποπνίγουσι, καὶ δευτεραῖον, καὶ τριταῖον, καὶ τεταρταῖον.

η. Ὁκόσαι δὲ τὰ μὲν ἄλλα παραπλησίως πόνον παρέχουσιν, ἐπαίρονται δὲ, καὶ ἐρυθήματα ἐν τῇ φάρυγγι ποιέουσιν, ὀλέθριαι μὲν κάρτα, χρονιώτεραι δὲ ὀλίγῳ τῶν πρόσθεν, ἢν τὸ ἐρύθημα μέγα γίνηται.

ϑ. Ὁκόσοισι δὲ ξυνεξερευθέει φάρυγξ καὶ ὁ αὐχὴν, αὗται δὴ χρονιώτεραι, καὶ μάλιστα ἐξ αὐτέων περιγίνονται, ἢν ὅ τε αὐχὴν καὶ στῆθος ἐρύθημα ἔχῃ, καὶ μὴ παλινδρομέῃ τὸ ἐρυσίπελας ἔσω.

prava esse judicata sunt, ægrum in periculo versari prædicendum est.

17. Angina gravissima quidem est, et celerrime interimit, quæ neque in faucibus, neque in cervice quidquam conspicuum facit, plurimumque dolorem exhibet, et erecta cervice spirationem inducit. Hæc enim eodem etiam die, et secundo, et tertio, et quarto strangulat.

18. At quæ in reliquis quidem similiter dolorem exhibet, in faucibus vero tumorem ac rubores excitat, admodum quidem exitialis est, priore tamen paulo diuturnior, si ingens rubor fuerit.

19. Hæc vero diuturnior, cum non solum fauces, sed cervicem quoque rubor occupat, ex eaque præcipue evadunt, si cervix et pectus ruborem habeat, neque intro erysipelas recurrat.

κ. Ην δὲ μήτε ἐν ἡμέρῃσι κρισίμοισιν ἀφανίζηται τὸ ἐρυσίπελας, μήτε φύματος ξυστραφέντος ἐν τῷ ἔξω χωρίῳ, μήτε πῦον ἀποβήσῃ, ῥηϊδίως τε καὶ ἀπόνως ἔχειν δοκέῃ, θάνατον σημαίνει, ἢ ὑποστροφὴν τῦ ἐρυθήματος.

κα. Ασφαλέστερον δὲ τὸ ἐρύθημα καὶ τὸ οἴδημα ὡς μάλιστα ἔξω τρέπεσθαι· ἢν δὲ ἐς τὸν πνεύμονα τράπηται, παράνοιάν τε ποιέει, καὶ ἔμπυοι ἐξ αὐτέων γίνονται ὡς τὰ πολλά.

κβ. Οἱ δὲ γαργαρεῶνες, ἐπικίνδυνοι καὶ ἀποτάμνεσθαι, καὶ ἀποσχάζεσθαι, καὶ ἀποκαίεσθαι, ἔστ' ἂν ἐρυθροί τε ἔωσι καὶ μεγάλοι· καὶ γὰρ φλεγμοναὶ ἐπιγίνονται τυτέοισι, καὶ αἱμοῤῥαγίαι. ἀλλὰ χρὴ τὰ τοιαῦτα τοῖσιν ἄλλοισι μηχανήμασι πειρῆσθαι κατισχναίνειν ἐν τουτέῳ τῷ χρόνῳ. ὁκόταν δὲ ἀποκριθῇ

20. Quod si neque diebus judicatoriis disparear erysipelas, neque tuberculum ad exteriorem sedem collectum fuerit, neque pus tussiendo rejiciat æger, facileque ac sine dolore degere videatur, mortem indicat, aut ruboris reversionem.

21. At securius est ruborem et tumorem quam maxime ad externa converti: quod si ad pulmonem se vertat, dementiam excitat, et ex his suppurati plerumque fiunt.

22. Gurgulio, quandiu ruber et magnus fuerit, non sine periculo resecatur, aut scarificatur, aut uritur. Inflammationes enim, et sanguinis profluvia inde oriuntur. Verum talia ut extenuentur aliis machinamentis eo tempore tentanda sunt. Ubi vero id totum, quod quidem uvam

ἅπαν ὃ δὴ σαφυλὴν αὐτὴν καλέουσι, καὶ γένηται, τὸ μὲν ἄκρον τοῦ γαργαρεῶνος, μέζον τε καὶ περιφερὲς, τὸ δὲ ἀνωτέρω, λεπτότερον, ἐν τουτέῳ τῷ καιρῷ, ἀσφαλὲς διαχειρίζειν. ἄμεινον δὲ καὶ ὑποκενώσαντα τὴν κοιλίην τῇ χειρουργίῃ χρέεσθαι, ἢν ὅ τε χρόνος ξυγχωρέῃ, καὶ μὴ ἀποπνίγηται ὤνθρωπος.

κγ. Οκόσοισι δ' ἂν οἱ πυρετοὶ παύωνται, μήτε σημηΐων γενομένων λυτηρίων, μήτε ἐν ἡμέρῃσι κρισίμῃσι, ὑποστροφὴν προσδέχεσθαι χρὴ τουτέοισι.

κδ. Οστις δ' ἂν τῶν πυρετῶν μηκύνῃ, περιεσηκῶς διακειμένου τοῦ ἀνθρώπου, μηκέτι ὀδύνης ἐχούσης διὰ φλεγμονήν τινα, μήτε διὰ πρόφασιν ἄλλην μηδεμίην ἐμφανέα, τουτέῳ προσδέχεσθαι ἀπόσασιν, μετ' οἰδήματός τε καὶ ὀδύνης, ἔς τι τῶν ἄρθρων, καὶ οὐκ ἧσσον τῶν κάτω.

ipsam nominant, secretum fuerit, et summa gurgulionis pars major et rotunda, superior autem tenuior extiterit, per id tempus manum admovere tutum est. Præstat tamen ubi alvum subduxeris, manus operam adhibere, si per tempus liceat, neque suffocetur æger.

23. Quibus quidem febres cessant neque apparentibus solutionis signis, neque diebus judicatoriis, iis recidiva expectanda est.

24. In longa febre, salutariter tamen affecto ægro, si neque ob inflammationem aliquam, neque ob ullam aliam evidentem occasionem dolor detinet, in hoc abscessus cum tumore, aut dolore ad articulum aliquem expectandus, maximeque in inferioribus locis.

κε. Μᾶλλον δὲ γίνονται καὶ ἐν ἐλάσσονι χρόνῳ αἱ τοιαῦται ἀποστάσεες, τοῖσι νεωτέροισι τριήκοντα ἐτέων.

κϛ. Υποσκέπτεσθαι δὲ χρὴ εὐθέως τὰ περὶ τῆς ἀποστάσεος, ἢν εἴκοσι ἡμέρας ὁ πυρετὸς ἔχων ὑπερβάλλῃ.

κζ. Τοῖσι δὲ πρεσβυτέροισι ἧσσον γίνεται, πολυχρονιωτέρου ἐόντος τοῦ πυρετοῦ.

κη. Χρὴ δὲ τὴν μὲν τοιαύτην ἀπόστασιν προσδέχεσθαι, ξυνεχέος ἐόντος τοῦ πυρετοῦ. ἐς δὲ τεταρταῖον καταστήσεσθαι, ἢν διαλείπῃ τε καὶ καταλαμβάνῃ πεπλανημένον τρόπον, καὶ ταῦτα ποιέων τῷ φθινοπώρῳ προσπελάσῃ.

κθ. Ωσπερ δὲ τοῖσι νεωτέροισι τῶν τριήκοντα ἐτέων αἱ ἀποστάσεες γίνονται, οὕτω οἱ τεταρταῖοι μᾶλλον τοῖσι τριήκοντα ἐτέων, καὶ γεραιτέροισι.

λ. Τὰς δὲ ἀποστάσεας εἰδέναι χρὴ, τοῦ

25. Magis tamen et breviori tempore hujusmodi abscessus contingere solent iis qui trigesimum annum non attigerunt.

26. Statim quidem abscessum conjiciendum, si ultra vigesimum diem febris detinet.

27. Hic tamen senioribus minus contingit, diuturniore etiam existente febre.

28. Hujusmodi autem abscessum expectare convenit si febris continua fuerit. In quartanam vero mutabitur, si intermiserit, et errabundum in modum prehenderit, et ita ad autumnum deducatur.

29. Quemadmodum autem abscessus oriuntur in his qui triginta annis minores sunt, ita quartanæ potius his qui annum agunt trigesimum, aut senioribus.

30. Scire autem convenit abscessus

χειμῶνος μᾶλλον γινομένας, χρονιώτερόν τε παυομένας, ἧσσον δὲ παλινδρομεῦσας.

λα. Ὅστις δὲ ἂν ἐν πυρετῷ μὴ θανατώδεϊ φῇ τὴν κεφαλὴν ἀλγέειν, ἢ καὶ ὀρφνῶδές τι πρὸ τῶν ὀφθαλμῶν φαίνεσθαι, ἢν καὶ καρδιωγμὸς τούτῳ προσγένηται, χολῶδης ἔμετος παρέσται. ἢν δὲ καὶ ῥῖγος προσγένηται, καὶ τὰ κάτω τῶ ὑποχονδρίε ψυχρὰ ἔχῃ, καὶ θᾶσσον ἔτι ὁ ἔμετος παρέσται. ἢν δέ τι καὶ πίῃ, ἢ φάγῃ ὑπὸ τοῦτον τὸν χρόνον, κάρτα ταχέως ἐμεῖται.

λβ. Τουτέων δὲ οἷσιν ἂν ἄρξηται ὁ πόνος τῇ πρώτῃ ἡμέρῃ γίνεσθαι, τεταρταῖοι πιέζευνται μᾶλλον, καὶ πεμπταῖοι, ἐς δὲ τὴν ἑβδόμην ἀπαλλάσσονται. οἱ μέν τοι πλεῦνες αὐτέων ἄρχονται μὲν πονέεσθαι τριταῖοι· χειμάζονται δὲ μάλιστα πεμπταῖοι· ἀπαλλάσσονται δὲ ἐνναταῖοι, ἢ ἑνδεκαταῖοι. οἳ δ' ἂν ἄρξωνται

hyeme magis contingere, et tardius desinere, at minus intro recurrere.

31. Si quis vero in febre non lethali dixerit sibi caput dolere, aut tenebricosum quiddam ante oculos obversari, si etiam oris ventriculi morsus accesserit, biliosa vomitio aderit. Quod si quoque rigor subortus fuerit, et inferiores hypochondrii partes frigidas habuerit, adhuc citius vomitio aderit. Si vero sub id tempus etiam biberit quidpiam, aut ederit, quam celerrime evometur.

32. Porro quibus horum primo die dolor fieri cœpit, ii quarto et quinto die potissimum affliguntur, at septimo liberantur. Eorum tamen plærique tertio die dolore vexari incipiunt, conflictantur autem maxime quinto, verum nono aut undecimo periculo defunguntur. Qui vero

πεμπταῖοι πονέεσθαι, καὶ τὰ ἄλλα κατὰ λόγον αὐτέοισι γίνηται, ἐς τὴν τεσσαρεσκαιδεκάτην κρίνεται ἡ νοῦσος.

λγ. Γίνεται δὲ ταῦτα, τοῖσι μὲν ἀνδράσι, καὶ τῇσι γυναιξὶν, ἐν τοῖσι τριταίοισι μάλιστα· τοῖσι δὲ νεωτέροισι γίνεται μὲν καὶ ἐν τελέοισι, μᾶλλον δὲ ἐν τοῖσι ξυνεχεστέροισι πυρετοῖσι, καὶ ἐν τοῖσι γνησίοισι τριταίοισι.

λδ. Οἷσι δὲ ἂν ἐν τοιουτοτρόπῳ πυρετῷ κεφαλὴν ἀλγεῦσιν, ἀντὶ μὲν τοῦ ὀρφνῶδες τὶ πρὸ τῶν ὀφθαλμῶν φαίνεσθαι, ἀμβλυωγμὸς γίνεται, ἢ μαρμαρυγαὶ προφαίνονται· ἀντὶ δὲ τοῦ καρδιώσσειν, ἐν τῷ ὑποχονδρίῳ ἐπὶ δεξιὰ ἢ ἐπὶ ἀριστερὰ, ξυντείνεταί τι, μήτε ξὺν ὀδύνῃ, μήτε ξὺν φλεγμονῇ, αἷμα διὰ ῥινῶν τούτεοισι ῥυῆναι προσδόκιμον, ἀντὶ τοῦ ἐμέτου· μᾶλλον δὲ καὶ ἐνταῦθα τοῖσι νέοισι τοῦ αἵματος τὴν ῥῆξιν

quinto die dolore affligi cœperint, et reliqua pro ratione respondeant, ad decimum - quartum diem judicatur morbus.

33. Ista autem viris et mulieribus, in tertianis præcipue contingunt: junioribus vero fiunt quidem etiam in iis ipsis, sed magis in febribus continuis, et legitimis tertianis.

34. At quibus in hujusmodi febre caput dolet, et pro tenebris ante oculos apparentibus, visus hebetudo contingit, vibrantesque splendores obversari videntur, et pro oris ventriculi morsu, in hypochondrii dextra aut sinistra parte contentio quædam, neque cum dolore, neque cum inflammatione suboritur, iis pro vomitu sanguinem e naribus profluxurum expectandum est. Potius tamen et eo caſu

προσδέχεσθαι, τοῖσι δὲ τριήκοντα ἔτεσι, καὶ γεραιτέροισι ἧσσον, ἀλλὰ τοὺς ἐμέτους τουτέοισι προσδέχεσθαι.

λε. Τοῖσι δὲ παιδίοισι σπασμοὶ γίνονται, ἢν ὁ πυρετὸς ὀξὺς ἔῃ, καὶ ἡ γαστὴρ μὴ ὑποχωρέῃ, καὶ ἀγρυπνέωσί τε, καὶ ἐκπλαγέωσι, καὶ κλαυθμυρίζωσι, καὶ τὸ χρῶμα μεταβάλλωσι, καὶ χλωρὸν, ἢ πέλιον, ἢ ἐρυθρὸν ἴσχωσι. γίνεται δὲ ταῦτα ἐξ ἑτοιμοτάτου μὲν τοῖσι παιδίοισι τοῖσι νεωτάτοισιν, ἐς τὰ ἑπτὰ ἔτεα. τὰ δὲ πρεσβύτερα τῶν παιδίων καὶ οἱ ἄνδρες, οὐκέτι ἐν τοῖσι πυρετοῖσι ὑπὸ τῶν σπασμῶν ἁλίσκονται, ἢν μήτι τῶν σημηΐων προσγένηται τῶν ἰσχυροτάτων τὲ καὶ κακίστων, οἷα περ ἐν τῇσι φρενίτισι γίνηται.

λς. Τοὺς δὲ ἀπολουμένους τὲ καὶ περιεσομένους τῶν παιδίων τε, καὶ τῶν ἄλλων, τεκμαίρεσθαι

in juvenibus sanguinis fluorem expectato; iis vero qui trigesimum annum attingunt, et senioribus minus, sed in his vomitiones expectabis.

35. Pueris vero convulsiones accidunt, si febris acuta fuerit, et venter non dejiciat, si vigilent, perterreantur, ejulent, et colorem mutent, et ex viridi pallidum, aut lividum, aut rubrum contrahant. Hæc autem, pueris quidem nuperrime editis, ad septimum usque annum promptissime eveniunt. At grandiores pueri, et viri, non adeo per febres convulsionibus prehenduntur, nisi quid ex vehementissimis et pessimis signis accesserit, qualia quidem in phrenitide fierit solent.

36. Morituros autem et superfuturos tum pueros, tum alios, ex omnibus signis

τοῖσι ξύμπασι σημηΐοισι, ὡς ἐπὶ ἑκάστοισι ἕκαστα διαγέγραπται.

λζ. Ταῦτα δὲ λέγω, περί τε τῶν ὀξέων νοσημάτων, καὶ ὁκόσα ἐκ τουτέων γίνεται.

λη. Χρὴ δὲ τὸν μέλλοντα ὀρθῶς προγινώσκειν τοὺς περιεσομένους, καὶ τοὺς ἀποθανουμένους, οἷσί τε ἂν μέλλῃ πλέονας ἡμέρας παραμένειν τὸ νόσευμα, καὶ οἷσιν ἂν ἐλάσσους, τὰ σημήϊα ἐκμανθάνοντα πάντα, δύνασθαι κρίνειν, λογιζόμενον τὰς δυνάμεας αὐτέων πρὸς ἀλλήλας, ὥσπερ διαγέγραπται, περί τε τῶν ἄλλων, καὶ τῶν οὔρων, καὶ τῶν πτυέλων, ὅταν ὁμοῦ πῦον τε ἀναβήσσῃ καὶ χολήν.

λθ. Χρὴ δὲ καὶ τὰς φορὰς τῶν νοσημάτων, τῶν αἰεὶ ἐπιδημεύντων, ταχέως ἐνθυμέεσθαι, καὶ μὴ λανθάνειν τῆς ὥρης τὴν κατάστασιν.

conjicies

conjicies, velut in singulis singula descripta sunt.

37. Atque hæc, et de morbis acutis, et de his qui ab iis oriuntur, dico.

38. Qui vero superfuturos ex morbo, et morituros, eosque quibus pluribus diebus, et quibus paucioribus perseverabit morbus, recte prænoscere volet, is intelligentia comprehensam omnium signorum doctrinam, æstimare debet, et eorum vires inter se collatas ratione expendere, velut scriptum est, cum in aliis, tum in urinis & sputis, ubi una et pus, et bilis tussiendo rejecta fuerint.

39. Quinetiam morborum semper vulgariter grassantium impetum cito animadvertere oportet; nec tempestatis conditionem ignorare.

μ. Εὖ μέντοι χρὴ εἰδέναι, περὶ τῶν τεκμηρίων, καὶ τῶν ἄλλων σημηΐων, καὶ μὴ λανθάνειν ὅτι, ἐν παντὶ ἔτεϊ καὶ πάσῃ ὥρῃ, τά τε κακὰ κακόν τι σημαίνει, καὶ τὰ χρηστὰ ἀγαθόν.

μα. Ἐπεὶ καὶ ἐν Λιβύῃ, καὶ ἐν Δήλῳ, καὶ ἐν Σκυθίῃ φαίνεται τὰ προγεγραμμένα ἀληθεύοντα σημήϊα.

μβ. Εὖ οὖν χρὴ εἰδέναι, ὅτι ἔν τε τοῖσιν αὐτέοισι χωρίοισιν, οὐδὲν δεινὸν τὰ πολλαπλάσια αὐτέων ἐπιτυγχάνειν, ἢν ἐκμαθών τις αὐτὰ κρίνειν τε καὶ λογίζεσθαι ὀρθῶς ἐπίσηται.

μγ. Ποθέειν δὲ χρὴ οὐδενὸς νουσήματος ὄνομα, ὅ, τι μὴ τυγχάνει ἐνθάδε γεγραμμένον. ἅπαντα γὰρ ὁκόσα ἐν τοῖσι χρόνοισι τοῖσι προειρημένοισι κρίνεται, γνώσῃ δὲ τοῖσιν αὐτέοισι σημηΐοισι.

ΤΕΛΟΣ ΠΡΟΓΝΩΣΤΙΚΩΝ.

40. Atqui quod ad proprias cujusque rei notas et reliqua signa attinet, probe nosse minimeque ignorare convenit, quod quovis anno, et quovis anni tempore, mala malum aliquod, et bona bonum aliquod denuntiant.

41. Quandoquidem et in Lybia, et in Delo, et in Scythia, prædicta signa vera esse comprobantur.

42. Optime igitur sciendum est quod non difficile sit, in iisdem regionibus, ut quis longe plurima ex ipsis assequatur, si ea, memoria complexus, dijudicare, et recte perpendere noverit.

43. Neque vero est quod ullius morbi nomen, quod hic adscriptum non sit, desideres. Omnes etenim qui prædictis temporibus judicantur, ex iisdem sane ignis cognosces.

PRÆNOTIONUM FINIS.